Εἶναι μεταχεῖν, ὑ φιλοσόνδυ λίβος,
Βωμῶν τ' ἀπείργειν, ὐχ ὁρωμένην πατρὸς
Μῆνιν δέχεσθαι, ὕστε ζυλλύειν τινά.
Πάντων δ' ἄτιμον κἀφιλον θνήσκειν χρόνῳ,

Κακῶς

Κακῶς ταριχεύθεῖσα σαμφθάρῃσι μόρῳ.
Τοιοῖσδε χρησμοῖς ἆρα χρὴ πειστέα.
Κ' εἰ μὴ πέποιθα, τὔργον ἐξεργαστέον.
Πολλοὶ γὰ εἰς ἓν ξυμπίπτουσιν ἤμεροι,
Θεῦ τ' ἐφέλμαι, καὶ πάλιν πένθος μέγα,
Καὶ προσπίπτει χρημάτων ἀχνηία,
Τὸ μὴ πολίτας ἀκλεεστάτους βροτῶν,
Τροίας ἀνασατῆρας ἀδόξῳ φρενὶ,
Δυοῖν γυναιξὶν ὧδ' ὑπηκόους πέλειν.
Θήλεια γὰ φρήν· εἰ δὲ μὴ, τάχ' εἴσεται.

Ανάπαιστοι.

ΧΟ. Αλλ' ὦ μεγάλαι μοῖραι, δίοδον
Τῇδε τελεῖτε,
Ἢ τὸ δίκαιον μεταβαίνει.
Αντὶ μὲν ἐχθρᾶς γλώσσης ἐχθρὰ
Γλῶσα τελείω· τὐφειλόμενον
Πράσσουσα δίκη μέγ' ἀΰτεῖ·
Αντὶ δὲ πληγῆς φονίας φονίων
" Πληγὴν τινέτω. δράσαντι παθεῖν,
" Τριγέρων μῦθος τάδε φωνεῖ.

Αντιστροφικὰ. Στροφή.

ΟΡ. Ω πάτερ, αἰνόπατερ, τί σοι
Φάμενος, ἢ τί ῥέξας,
Τύχοιμ' ἂν ἔκαθεν ὑρίσας,
Ενθα σ' ἔχουσιν ἀραὶ,
Σκότῳ φάος ἰσόμοιρον;
Χάριτες δ' ὁμοίως
Κέκληνται γόος ἀκλεὴς
Προσδοδόμοις Ατρείδαις.

Ιαμβοι.

ΧΟ. " Τέκνον, φρόνημα τῦ
" Θανόντος

" Θανόντος ὐ δαμάζει
" Πυρὸς ἡ μαλερὰ γνάθος,
" Φαίνῃ δ' ὕστερον ὀργάς·
" Ὀτοτύζει δ' ὁ θήσκων,
" Ἀναφαίνει δ' ὁ βλάπτων.
" Πατέρων τι χ' τεκόντων
" Γόος ἔνδικος ματάζει
" Τὸ πᾶν, ἀμφιλαφὴς ταραχθείς.

Ἀντιστροφή.

ΗΛ. Κλῦθι νῦν, ὦ πάτερ, ἐν μέρει πολυδάκρυτα πένθη.
Δίπαις τοῖς ἐπιτυμβιδίοις
Θρῆνος ἀναστενάζει.
Τάφος δ' ἱκέτας δέδεκται,
Φυγάδας θ' ὁμοίως.
Τί τῶνδ' εὖ; τί δ' ἄτερ κακῶν;
Οὐκ ἀτρίακτος ἄτα.

Ἀνάπαιστοι.

ΧΟ. Ἀλλ' ἔτ' ἂν ἐκ τῶνδε θεὸς χρήζων
Θείη κελάδους ἀφθογγοτέρους·
Ἀντὶ δὲ θρήνων ἐπιτυμβιδίων,
Παίων μελάθροις ἐν βασιλείοις
Νεοκρᾶτα φίλον γε κομίζοι.

Μονοστρόφικα.

ΗΛ. Εἰ γὰρ ὑπ' Ἰλίῳ
Πρός τινος λυκίων, πάτερ,
Δορίτμητος καλεναρίοθης,
Λιπὼν ἂν εὔκλειαν ἐν δόμοισι,
Τέκνων τε κελάθοις,
Ἐπισπέπλων αἰῶνα κλίσας,
Πολύχωστον ἂν εἶχες

Τάφον

Τάφον διαπορθίν γᾶς
Δώμασιν ἀφόρητον,
Φίλος φίλοισι τοῖς
Ἐκεῖ καλῶς θανοῦσι,
Καλὰ χθονὸς ἐμπρέπων,
Σεμνότιμος ἀνάκτωρ,
Πρόπολός τε τῆσ μεγίστων
Χθονίων ἐκεῖ τυράννων.
Βασιλῆς γὰ ἦς ὅφρα ἔζης,
Μόριμον λάχος σιμπλάντων
Χεροῖν, σεισίμβροτόν τε βάκτρον.
Μηδ' ὑπὸ Τρωϊκᾶς
Τείχεσι φθίμενος, πάτερ,
Μετ' ἄλλων δορικμῆτι λαῷ
Παρὰ Σκαμάνδρου πόρον τέθαψαι.
Πάρος δ', οἱ κλανόντες
Νὶν, ὕτως δαμῆναι,
Θανατηφόρον αἶσαν
Πρόσω τινὰ συνθάνειθαι
Τῶνδε πόνων ἄπειρον.

Ἀνάπαισοι.

ΧΟ. Ταῦτα μὲν, ὦ πᾶ, κρείσσονα χρυσοῦ,
Μεγάλης δὲ τύχης γ' ὑπερβορέου
Μείζονα φωνεῖς· ὀδύνασαι γό.
Ἀλλὰ διπλῆς γ' τῆσδε μαραίνης
Δῦπος ἰκνεῖται· τῆσ μὲν ἀρωγοὶ
Καλὰ γῆς ἤδη· τῆσ δὲ κραλύντων.
Χέρες ὐχ ὅσιαι συγερῶν τύτων.
Παισὶ δὲ μᾶλλον γεγύνῃ).

Μονοστρόφικα.

ΗΛ. Τῦτο διαμπερὲς ὡς ἴκελο ἄτε περ βέλος.

ΧΟ. Ζεῦ, Ζεῦ, κάτωθεν ἀμπέμπων
Υστερόποινον ἄταν
Βροτῶν τλήμονι χ᾽ ὑπάργῳ
Χειρὶ, (τοκεῦσι δ᾽ ὅμως τελεῖταν)
Εφυμνῆσαι γιγνοίτό μοι
Πάκτεντ᾽ ὀλολυγμὸν
Ανδρὸς θεινομένου,
Γυναικός τ᾽ ὀλλυμένας.
Τί γὰ κάθω φρενός;
Θεῖον ἔμπας σπάσαται.
Πάροιθεν δὲ πρώρας,
Δριμείας τὲ καρδίας,
Θυμὸς, ἔγκοτον σύγος.
Καὶ πότ᾽ ἂν ἀμφιθαλὴς
Ζάς ἐπὶ χεῖρα βάλοι;
Φεῦ, φεῦ, κάρανα δαΐξας,
Πισὰ γένοιτο χώρα.
Δίκαν δ᾽ ἐξ ἀδίκων ἀπαιτῶ.
Κλῦτε δὲ τὰ χθονίων τέλιμνα.

Ανάπαιστοι.

Αλλὰ νόμος μὲν, φονίας σαγόνας
Χυμένας ἐς πέδον, ἄλλο προσαιτεῖν
Αἷμα. βοᾷ γὰ λοιγὸν ἐριννὺς
Παρὰ τῆς προτέρων φθιμένων ἄτην
Ετέραν ἐπάγουσαν ἐπ᾽ ἄτῃ.

Μονοστρόφικα.

Ποῖ, ποῖ δὴ νερτέρων τυραννίδες;
Ιδεῖτε πολυκρατεῖς ἀραὶ φθιμένων,
Ιδεσθ᾽ Ατρειδᾶν τὰ λοιπ᾽ ἀμηχάνως
Εχοντα, καὶ δωμάτων
Ατιμα. πᾷ τίς τράποιτ᾽ ἄν, ὦ Ζεῦ;

ΗΛ.

ΗΛ. Πέπαλ᾽ δ᾽ αὖτέ μοι φίλον κέαρ,
Τόνδε κλύουσαν οἶκτον.
Καὶ τότε μὲν δύσελπις,
Σπλάγχνα δέ μου κελαινῦται
Πρὸς ἔπος κλυούσῃ.
Οταν δ᾽ αὖτ᾽ ἐπαλκὴς
Θρασέ᾽, ἀπέσασιν ἄχος,
Πρὸς τὸ φανεῖσθαί μοι καλῶς.
Τί δ᾽ ἂν εἰπόντες τύχοιμεν ἄν; ἢ τά περ
Πάθομεν ἄχθια θεὸς γε τοὺς τεκόντων;
Πάρεσι (φέρειν, τὰ δ᾽ ὅτι θέλει).
Λύκος γὼς ὅς᾽ ὠμόφρων,
Ασαυλος ἐκ μαλρός ἐσι θυμός.
Εκοψε κομμὸν ἄρειον, εἴτε κισσίας
Νόμοισι πολεμισρίας,
Απριγκλοι πληκλά. πολύπλαγκλα δ᾽ ἦν ἰδεῖν,
Επασυλιροβριβῆ τὰ χερὸς ὀρέγματα·
Ανωθεν ἀνέκαθεν κλύπτῳ δ᾽ ἐπιῤῥοθεῖ
Κροτητὸν ἀμὸν ϗ πανάθλιον κάρα.
Ιὼ, ἰὼ, δαΐα
Πάντολμε μῆτερ, δαΐας ἐν ἐκφοραῖς
Ανὰ πολιτᾶν ἄνα-
κλ᾽, ἄνδ᾽ δὲ πενθημάτων
Ετλης ἀνοίμωκλον ἄνδρα θάψαι.
ΟΡ. Τὸ πᾶν ἀτίμως ἔλεξας, οἴμοι.
Παλρὸς δ᾽ ἀτίμωσιν ἀρὰ τίσι,
Εκαλι μὲν δαιμόνων,
Εκαλι δ᾽ ἁμᾶν χερῶν.
Επειτ᾽ ἐγὼ νοσφίσας ὁλοίμαν.
ΗΛ. Εμαχαλίωθης δέ θ᾽ ὡς τότ᾽ ἔδυ.
Επραυτε δ᾽ ἅπερ νὶν, ὧδε θάπλει·

Μόρον

Μόρον κλεῖναι μωμφὰ
Αφερσον αἰῶνι σῷ.
Κλύεις παλρωὰς δυσαλίμους,
Λέγεις παλρώϊον μόρον.
Εγὼ δ' ἀπεσάτην
Ατιμος, οὐδὲ ἄξία.
Μυχῷ δ' ἄφερκλος πολυσίνᾳ κυνὸς δίκαν,
Ετοιμότερα γέλωσος ἀνέφερον λίζη,
Χαίρουσα πολύδακρυν γόον κέκρυμμώα.
Τοιαῦτ' ἀκύων ἐν φρεσὶ
Γράφω, δι' ὤτων δὲ ζυν-
τέτραγνε μῦθον ἠσύχῳ φρενῶν βάσι.
Τὰ μὲν γὰ ὕπως ἔχι·
Τὰ δ' αὐτὸς ὀργᾷ μαθεῖν.
Πρέπι δ' ἀκάμπῳ μῶει καθήκειν.
Σέ τοι λέγω, ξυγγενῦ, πάτερ, φίλοισι.
Εγὼ δ' ἐπιφθέγγομαι κεκλαυμώα·
Στάσις δὲ πάγκοινος ὧδ' ἐπιῤῥοθεῖ,
Ακυσον ἐς φάος μολών.
Ξὺν δὲ γλῶ πρὸς ἐχθρούς.
Αρης ἄρι ξυμβάλλι, δίκα δίκᾳ.
Ιὼ θεοὶ, κραίνετ' ἐνδίκως.
Τρόμος μ' ὑφέρπι κλύουσαν ἀγμάτων.
Τὸ μόρσιμον μῶει πάλαι,
Εὐχομώοις δ' ἄν ἔλθοι.
Ιὼ πόνος ἐγγενὴς,
Καὶ παράμουσος ἄτης
Αἱμαλόεσσα πλαγά.
Ιὼ δύσον' ἄφερτα κήδη.
Ιὼ δυσκαλάπαυστον ἄλγος
Δώμασιν ἔμμολον.

Τῶν

Τῶν δ' ἐκὰς ὐδ' ἀπ' ἄλλων
Ἐκ]οθεν, ἀλλ' ἀπ' αὐτῶν
Αἰῶν' ἀναγρεῖν, ἁ]μαληρᾶν
Θεῶν καὶ γᾶς ὅδ' ὕμνος.

Ἀνάπαιστοι.

Ἀλλὰ κλύον]ες, μάκαρες χθόνιοι,
Τῆσδε καλ]αχῆς, πέμπετ' ἀρωγὴν
Παισὶ τροφόρως ἐπὶ νίκην.

Ἰαμβοι.

ΟΡ. Πάτερ τρόποισιν ὑ τυραννικοῖς θανὼν,
Αἰτυμβώ μοι δὸς κράτος τῶν σῶν δόμων.
ΗΛ. Κἀγὼ, πάτερ, τοιάνδε]ν χρείαν ἔχω,
Φυγεῖν, μέγαν τρυφεῖσαν Αἴγισθ]ν μόρον.
Οὕτω γὰ ἂν]οι δαῖτες ἔννομοι βροτῶ
Κτιζοίατ'· εἰ δὲ μὴ, πὰρ' ἀδείπνοις ἔσῃ
Ατιμος ἐν πυροῖσι κνισωτοῖς χθονός.
Κἀγὼ χοὰς]οι τῆς ἐμῆς πα]κληρίας
Οἴσω πα]ρῴων ἐκ δόμων γαμηλίας.
Πάντων δὲ πρῶτον τόνδε πρεσβεύσω τάφον.
ΟΡ. Ω γαῖ', ἄνες μοι πατέρ' ἐποπλεῦσαι μάχην.
ΗΛ. Ω Περσέφασσα, δὸς δέ τ' εὔμορφον κράτος.
ΟΡ. Μέμνησο λ]ρῶν οἷς ἐνοσφίωθης, πάτερ.
ΗΛ. Μέμνησο δ' ἀμφίβλ]στρον ᾧ σ' ἐκαίνισαν.
ΟΡ. Πέδαις δ' ἀχαλκεύ]οις ἐθηρεύθης, πάτερ.
ΗΛ. Αἰσχρῶς τι βυκ]τοῖσιν ἐν καλύμμασιν.
ΟΡ. Ἀρ' ἐξεγείρῃ τοῖς δ' ὀνείδεσιν, πάτερ;
ΗΛ. Ἀρ' ὀρθὸν αἴρεις φίλ]αλον τὸ σὸν κάρα;
Ητοι δίκην ἴαλλε σύμμαχον φίλοις·
Ἢ τὰς ὁμοίας ἀν]ίδος βλάβας λαβεῖν,
Εἴπερ κρ]ηθεὶς γ' ἀν]ιτικῆσαι θέλεις.
Καὶ τῆσδ' ἄκυσον λοιβ]ᾶς βοῆς, πάτερ,

Ἰδὼν νεοσσὺς τύσδ' ἐφημμένους τάφῳ·
Οἴκτειρε θῆλυν, ἄρσενός θ' ὁμῦ γόνον·
Καὶ μὴ ξαλείψῃς σπέρμα Πελοπιδῶν τόδε.
Οὕτω γὰ, ἢ τέθνηκας, ἥδε σὴρ θανών.
" Παῖδες γὰ ἀνδρὶ κληδόνες ζωτήριοι
" Θανόντι· φιλοὶ δ' ὡς ἄγυσι δίκτυον,
" Τὸν ἐκ βυθῦ κλωσῆρα ζώοντες λίνον.
Ακυ', ὑπὲρ σῦ τοιάδ' ἐς' ὀδύρματα.
Αὐτὸς δὲ ζώζῃ τόνδε τιμήσας λόγον·
Καὶ μὴν ἀμόμφητον δέ τινα τὸν λόγον,
Τίμημα τύμβυ τῆς ἀνοιμώκτυ τύχης.
Τὰ δ' ἄλλ', ἐπειδὴ δρᾷν καλῶρθωσαν φρενὶ,
Ερδοις ἂν ἥδη, δαίμονος σπειρώμενος.
ΟΡ. Εσαν· συθέσθαν δ' ὑδέν ἐς' ἔξω δρόμυ,
Πόθεν χοὰς ἔπεμψεν, ἐκ τίνος λόγυ
Μεθύστερον τιμῶσ' ἀνήκεστον πάθος.
Θανῦντι δ', ἢ φρονῦντι, δειλαία χάρις
Επέμπετ'· ἢκ ἔχοιμ' ἂν εἰκάσαν τάδε
Τὰ δῶρα, μείω δ' ἐστὶ τῆς ἁμαρτίας.
Τὰ πάντα γὰ τις ἐκχέας ἄνθ' αἵματος
Ενὸς, μάτην ὁ μόχθος· ὧδ' ἔχει λόγος.
Θέλοντι δ', εἴπερ οἶσθ', ἐμοὶ φράσον τάδε.
ΧΟ. Οἶδ', ὦ τέκνον, σαρῆν γὰ· ἐκ τ' ὀνειράτων
Καὶ νυκτιπλάγκτων δειμάτων σπαλμῴη
Χοὰς ἔπεμψε τάσδε δύσθεος γυνή.
ΟΡ. Η κἀπύσθε τὕναρ, ὥσ' ὀρθῶς φράσαι;
ΧΟ. Τεκεῖν δράκοντ' ἔδοξεν, ὡς αὐτὴ λέγει.
ΟΡ. Καὶ σῆ τελευτᾷ κἀναιῦτο λόγος;
ΧΟ. Εν σπαργάνοισι σαυδὸς ὁρμίσαι δίκην
Τινὸς βορᾶς χρῄζοντα, νεογμὲς δάκος.
Αὐτὴ σροσέσχε μαζὸν ἔν τ' ὀνείρατι.

ΟΡ.

ΟΡ. Καὶ πῶς ἄτρωτον ὐκ ἄρ' ἦν ὑπὸ συγός;
ΧΟ. Ὡς' ἐν γάλακτι θρόμβον αἵματος πάσας.
ΟΡ. Οὗτοι μάταιον ἀνδρὸς ὄψανον σέλας.
ΧΟ. Η δ' ἐξ ὕπνου κέκραγμ' ἐπλοημμόν.
Πολλοὶ δ' ἀνῆλθον, ἐκλυφλωθέντες χότῳ,
Λαμπτῆρες ἐν δόμοισι θεσποίνης χάριν.
Πέμπτῃ τ' ἔπειτα τάσδε κηδείους χοὰς,
Ακος τομαῖον ἐλπίσασα σημάτων.
ΟΡ. Αλλ' εὔχομαι γῇ τῇδε, καὶ πατρὸς τάφῳ,
Τὔνειρον εἶναι τοῦτ' ἐμοὶ τελεσφόρον.
Κρίνω δέ τοι νιν ὥστε συγκόλλως ἔχειν.
Εἰ γὰρ τὸν αὐτὸν χῶρον ἐκλείπων ἐμοὶ,
Οφις τε πᾶσιν παργάνοις ὠπλίζετο,
Καὶ μαστὸν ἀμφέχαστ' ἐμὸν θρεπτήριον,
Θρόμβῳ δ' ἔμιξεν αἷμα φίλον γάλα·
Η δ' ἀμφιταρβὴς τῷδ' ἐπώμοξεν πάθει·
Δεῖ τοι νιν, ὡς ἔθρεψεν ἔκπαγλον τέρας,
Θανεῖν βιαίως· ἐκδρακοντωθεὶς δ' ἐγὼ
Κτενῶ νιν, ὡς τὔνειρον ἐντέμῃ τόδε.
Τερασκόπον δὲ τῶνδέ σ' αἰρῦμαι πέρι.
ΧΟ. Γένοιτο δ' ὕτως. τἄλλα δ' ἐξηγοῦ φίλοις·
Τὺς δ' ἔν τι ποιεῖν, τὺς δὲ μήτι δρᾶν, λέγων.
ΟΡ. Απλοῦς ὁ μῦθος. τήνδε μὲν σίγειν ἔσω·
Αἰνῶ δὲ κρύπτειν τάσδε ξυνθήκας ἐμάς·
Ως ἂν δόλῳ κτείναντες ἄνδρα τίμιον,
Δόλῳ τε καὶ ληφθῶσιν ἐν ταυτῷ βρόχῳ
Θανόντες, ἢ καὶ Λοξίας ἐφήμισεν,
Αναξ Απόλλων, μάντις ἀψευδὴς, τὸ πρίν.
Ξένῳ γὰ εἰκὼς, πανστελῆ στολὴν ἔχων,
Ηξω σὺν ἀνδρὶ τῷδ' ἐφ' ἑρκείους πύλας
Πυλάδῃ, ξένος τε καὶ δορύξενος, δόμων.

Αμφω

Αμφω δὲ φωνὴν ἧσομαι Παρνησίδα,
Γλώσσης αὔτὴν Φωκίδος μιμνμάω.
Καὶ δὴ θυρωρῶν ὅστις ἂν φαιδρᾷ φρενὶ
Δέξαιτ', ἐπειδὴ δαίμονᾳ δόμος κακοῖς.
Μενῦμαι ὕτως, ὡς ἐπεικάζειν τινὰ
Δόμοις παρασείχοιλα, κ' τάδ' ἐντέπειν·
Τί δὴ σύλησι τὸν ἱκέτην ἀπείργετε,
Αἴγισθος εἴπερ οἶδεν ἔνδημος παρών;
Εἰ δ' ὧν ἀμείψω βηλὸν ἔρκειον σνλῶν,
Κἀκεῖνον ἐν θρόνοισιν ἁρήσω πάλρὸς,
Η κ' μολὼν ἔπειλά μοι καλὰ τόμα
Ερεῖ, ζάφ' ἴωδι, κ' κατ' ὀφθαλμὺς βαλεῖ,
Πρὶν αὐτὸν εἰπεῖν, Ποδαπὸς ὁ ξένος; νεκρὸν
Θήσω, σοδώκη περιβαλὼν χαλκεμάλι.
Φόνν δ' ἐριννὺς ὐχ ὑπεσανισμόν
Ακραλον αἷμα πίεῖ) τρίτην πόσιν.
Σὺ δ' ὧν, σὺ μὲν φύλασσε τὰν οἴκω καλῶς,
Οπως ἂν ἀρλίκολλα ζυμβαίνη τάδε.
Υμῖν δ' ἐπαινῶ γλῶσσαν εὔφημον φέρειν,
Σιγᾶν θ' ὅπν δεῖ, κ' λέγειν τὰ καίρια.
Τὰ δ' ἄλλα τύτῳ δεῦρ' ἐποπλεῦσαν λέγω,
Ξιφηφόρνς ἀγῶνας ὀρθώσαντί μοί.

Αντιστροφικα. Στροφὴ ά.

ΧΟ. Πολλὰ μέν γ' ἀὴρ τρέφι
Δεινὰ κ' δειμάτων ἄχη,
Πόντιαί τ' ἀγκάλαι κνωδάλων
Αγλαῶν βροτοῖσι
Πλάθνσι, βλασνσι κ' πεδαίχμιοι
Λαμπάδες πεδάμαροι,
Πτηνά τε κ' πεδοβά-
μονα, κἀνεμοέντων

Αἰγίδων

Αἰγίδων φράσαι κότον.

Ἀντιστροφὴ ἀ.

Ἀλλ' ὑπέρολμον ἀν-
δρὸς φρόνημα τίς λέγοι,
Καὶ γυναικῶν φρεσὶν τλημόνων,
Καὶ παλόλμους
Ἐρωλας ἄταισι ζυννόμους βροτῶν,
Ξυζύγους θ' ὁμαυλίας;
Θηλυκρατὴς ἀπέρω-
τος ἔρως παρανικᾷ
Κυδάλων τὲ καὶ βροτῶν.

Στροφὴ β'.

Ἴσω δ' ὅσις ὐχ ὑποπλέροις
Φροντίσιν δαεὶς
Τὰν ἀ παμδολύμας
Τάλαιναν Θεσιὰς μήσαλο
Πυρδαῖ τινα μενοιναν,
Κ' ἄθυσα παμδὸς δαφοινὸν
Δαλὸν ἥλικ', ἐπεὶ μολὼν
Μαλρόθεν κελάδησε,
Σύμμελρόν τε διὰ βίᾳ
Μοιρόκραλον ἐς ἦμαρ.

Ἀντιστροφὴ β'.

Ἀλλὰ δὴ τίν' ἐν λόγοις τυγεῖν
Φοινίαν Σκύλλαν,
Ατ' ἐχθρῶν ὕπαι
Φῶτ' ἀπώλεσεν φίλον, Κρητικοῖς
Χρυσεοδμήτοισιν ὅρμοις
Πειθήσασα, δώροισι Μίνω,
Νίσον ἀθανάτας τριχὸς
Νοσφίσασ' ἀπροβούλως

Πνέοντ' ἀ κυνόφρων ὕπνῳ.
Κιχάνῃ δέ μιν Ερμῆς.

Στροφὴ γ'.

Επεὶ δ' ἐπεμνήσαμβω ἀμειλίχων
Πόνων, ἀκαίρως δὲ, δυσφιλὲς γαμήλαμ', ἀπάχεον δόμοις,
Γυναικοβύλας τὲ μῆτιδας φρενῶν
Επ' ἀνδρὶ τάχισφόρῳ,
Επ' ἀνδρὶ δηΐοις ἐπικότῳ σέβας·
Τίων δ' ἀθέρμαντον ἑσίαν δόμων
Γυναικείαν ἄτολμον αἰχμάν·

Αντιστροφὴ γ'.

Κακῶν δὲ πρισβάντ) τὸ λήμνιον
Λόγῳ· γοᾶται δὲ δήπυθεν καλάπλυτον· ἔικασε δέ τις
Τὸ δεινὸν αὖ λημνίοισι πήμασι.
Θεοστυγήτῳ δ' ἄχῃ
Βροτῶν ἀτιμωθὲν οἴχε) γθόνος.
Σέβει γὰ ὕτις τὸ δυσφιλὲς θεοῖς.
Τί τῶνδ' οὐκ ἐνδίκως ἀγείρω;

Στροφὴ δ'.

Τὸ δ' ἄγχι πλαμόνων ξίφος
Διαπλαίαν ὀξυπάκὲς σῦταμ
Διὰ δίκας.
Τὸ μὴ θέμις γὰ, ὑ
Λαῖξ πέδον πατύμμον.
Τὸ πᾶν Διὸς
Σέβας παρεκβάλλες ἀθεμίτως.

Αντιστροφὴ δ'.

Δίκας δ' ἐρείδε) πυθμήν.
Προχαλκάει δ' ἄσα φασγανηργός·

Τέκνον

Τέκνον δ' ἐπεισ-
φέρει δώμασι,
Αἱμάτων παλαιτέρων.
Τίνι μῦσος
Χρόνῳ κλυτὴ βυσόφρων ἐριννύς.

Ιαμβοι.

ΦΡ. Παῖ, παῖ, θύρας ἄκυσον ἑρκείας κλύπον.
Τίς ἔνδον; ὦ παῖ· παῖ, μάλ' αὖθις ἐν δόμοις;
Τρίτον τόδ' ἐκπέραμα δωμάτων καλῶ,
Εἴπερ φιλόξενός ἐστιν Αἰγίσθου βία.
ΟΙ. Εἶεν, ἀκούω· ποδαπὸς ὁ ξένος; πόθεν;
ΟΡ. Αγγελλε τοῖσι κυρίοισι δωμάτων,
Πρὸς ὅπερ ἥκω κἀφέρω καινὰς λόγους.
Τάχυνε δ', ὡς ἡ νυκτὸς ἅρμ' ἐπείγεῖ)
Σκοτεινὸν, ὥρα δ' ἐμπόρους μεθιέναι
Αγκυραν ἐν δόμοισι ναυδόκοις ξένων.
Εξελθέτω τις δωμάτων τελεσφόρος
Γυνὴ, τύραννος. ἄνδρα δ' ἀρρενέστερον.
Αἰδὼς γὰ ἐν λεχθεῖσιν οὐκ ἐπαργέμως
Λόγους τίθησιν· εἶπε θαρσήσας ἀνὴρ
Πρὸς ἄνδρα, κἀσήμηνεν ἐμφανὲς τέκμαρ.
ΚΛ. Ξένοι, λέγοιτ' ἂν εἴτι δεῖ· πάρεσι γὰ
Οποῖάπερ δόμοισιν τοῖσδ' ἐπείκοτα,
Καὶ θερμὰ λοῦτρα, κἀπόνων θελκτήρια,
Στρωμνὴ, δικαίων τ' ὀμμάτων παρουσία.
Εἰ δ' ἄλλο πρᾶξαι δεῖ τι βουλεύτερον,
Ανδρῶν τόδ' ἐστὶν ἔργον, οἷς κοινώσομεν.
ΟΡ. Ξένος μὲν εἰμι Δαυλιεὺς ἐκ Φωκέων·
Στείχουσα δ' αὐτόφορτον οἰκείᾳ ζάγῃ
Ες Αργος, ὥσπερ δεῦρ' ἀπεζύγην πόδας,
Αγνὼς θεὸς ἀγνῶτ' ἔπτε ζυμβαλὼν ἀνὴρ,

(Εξ-

(Ἐξισορήσας κ᾽ ζαφνίσας ὁδὸν,
Στρόφιος ὁ Φωκάς. πάθομαι γὰρ ἐν λόγῳ)
Επείπερ ἄλλως, ὦ ξέν᾽, εἰς Αργος κίεις,
Πρὸς τὰς τεκούσας, πανδίκως μεμνημένος,
Τεθνεῶτ᾽ Ορέσην εἰπὲ, μηδαμῶς λάθῃ. 680
Εἴτ᾽ ἂν κομίζειν δόξα νικήσῃ φίλων,
Εἴτ᾽ ἂν μέτοικον, εἰς τὸ πᾶν ἀεὶ ξένον,
Θάπτειν, ἐφέλμας τάσδε πορθμεύσον πάλιν.
Νῦν γὰρ λέβητος χαλκέου πλάρωμα
Σποδὸν κέκλεισται σώματος εὖ κεκλαυμένου.
Τοσαῦτ᾽ ἀκούσας, εἶπον. εἰ δὲ τυγχάνω
Τοῖς κυρίοισι κ᾽ πρεσβύταισιν λέγων,
Οὐκ οἶδα, τὸν τεκόντα δ᾽ εἰκὸς εἰδέναι.
ΗΛ. Οἶ᾽γὼ, κατ᾽ ἄκρας ἐνθάδ᾽ ὡς πορθούμεθα.
Ω δυσπάλαιστε τῶνδε δωμάτων ἀρὰ, 690
Ως πόλλ᾽ ἐπωπᾷς κἀκποδῶν εὖ κείμενα,
Τόξοις πρέπουσιν ἀσκόποις χειρουμένη,
Φίλων ἀποψιλοῖς με τὴν παναθλίαν.
Καὶ νῦν Ορέσης (ἦν γὰρ ἀβούλως ἔχων)
Εξω κομίζων ὀλεθρίου πηλὸν πόδα,
Νῦν δ᾽ ἅπερ ἐν δόμοισι βακχείας καλῆς
Ιατρὸς ἐλπὶς ἦν, παρῆσαν ἐγγράφῃ.
ΟΡ. Εγὼ μὲν ὦν ξένοισιν ὧδ᾽ ἀδαίμοσι
Κεδνῶν ἔκαλλι πραγμάτων ἂν ἤθελον
Γνωσὸς γενέσθαι, κ᾽ ξενωθῆναι· τί γὰρ 700
Ξένου ξένοισίν ἐστιν ἁμφίτερον;
Πρὸς δυστυχείας ἦν ἐμοὶ τόδ᾽ ἐν φρενὶ
Τοιόνδε πρᾶγμα μὴ καρανῶσαι φίλοις,
Καλαγνίσαντα κ᾽ καλεξενωμένον.
ΚΛ. Οὗτοι κυρήσεις μεῖον ἀξίως σέθεν,
Οὐδ᾽ ἧσσον ἂν γένοιο δώμασιν φίλος.

Αλλος

Αλλος δ' ὁμοίως ἦλθεν ἂν ταὐτ' ἀγγελῶν.
Αλλ' ἔῳδ' ὁ καιρὸς ἡμερᾶσθαι ξένους
Μακρᾶς κελεύθου, τυγχάνειν τὰ σύμφορα.
Αγ' αὐτὸν εἰς ἀνδρῶνας ἀξίνους δόμων,
Οπιδόπους δὲ τόνδε καὶ ξυνεμπόρους·
Κἀκεῖ κυρήσαι δώμασιν τὰ σύμφορα.
Αἰνῶ δὲ πράσσειν ὡς ὑπεύθυνῳ τάδε.
Ημεῖς δὲ ταῦτα τοῖς κρατοῦσι δωμάτων
Κοινώσομεν τε, κἀν φανίζουσιν φίλων
Βυλεύσομεσθα τῆσδε συμφορᾶς πέρι.

Ανάπαιστοι.

ΧΟ. Εἶεν, φίλαι δμωΐδες οἵκων,
Πότε δὴ σωμάτων
Δείξομεν ἰσχὺν ἐπ' Ορέστῃ.
Ω πότνια χθών, καὶ πότνι' ἀκτὴ
Χώμαλος, ἣ νῦν ἐπὶ ναυάρχῳ
Σώματι κεῖσαι τῷ βασιλείῳ,
Νῦν ἐπάκουσον, νῦν ἐπάρηξον·
Νῦν γὰρ ἀκμάζει πειθὼ δολίαι
Ξυγκαλαβοῦσαι, χθόνιον δ' Ερμῆν
Καὶ τὸν νύχιον τοῖσδ' ἐφοδεύσαι
Ξιφοδηλήτοισιν ἀγῶσιν.

Ιαμβοι.

ΟΙ. Εοικεν ἀνὴρ ὁ ξένος ταχὺν κακὸν,
Τροφὸν δ' Ορέστου τήνδ' ὁρῶ κεκλαυμένην.
Ποῖ δὴ πατεῖς, γέρουσα, δωμάτων πύλας;
Λύπη δ' ἄμουδός ἐστί σοι ξυνέμπορος.

ΤΡ. Αἴγισθον, ὃν κρατοῦσα τὸν ξένης, καλεῖν
Οπως τάχιστ' ἄνωγμ', ὡς σαφέστερον
Ανὴρ ἀπ' ἀνδρὸς τὴν νεάγγελον φάτιν
Ελθὼν πύθηται τήνδε. θεὸς μὲν οἰκέτας

Θέτο ζυθρωπῶν ἐνδὸς ὀμμάτων γέκων,
Κἄθυσ' ἐπ' ἔργοις διαπεπραγμένοις. καλῶς
Κείνῃ, δόμοις δὲ τοῖσδε παγκάκως ἔχει,
Φήμης ὑφ' ἧς ἤγγειλαν οἱ ξένοι τορῶς.
Η δὴ κλύων ἐκεῖνος ἀφρανεῖ νόον,
Εὖτ' ἂν σύθῃ) μῦθον. ὦ τάλαιν' ἐγώ.
Ως μοι τὰ μὲν παλαιὰ ζυγκεκραμμένα,
Αλγη δύσοιστα τοῖσδ' ἐν Ατρέως δόμοις
Τυχόντ', ἐμὴν ἤλγυνεν ἐν στέρνοις φρένα.
Αλλ' ὕτι πω τοιόνδε πῆμ' ἀνεχόμην.
Τὰ μὲν γὰ ἄλλα τλημόνως ἤνλων κακά·
Φίλον δ' Ορέσην, τῆς ἐμῆς ψυχῆς τριβὴν,
Ον ἐξέθρεψα μηλρόθεν δεδεγμένη,
Καὶ νυκλιπλάγκλων ὀρθίων κειλσομάτων,
Καὶ πολλὰ κ' μοχθηρ' ἀνωφέλητ' ἐμοὶ
Τλάσῃ. τὸ μὴ φρονῆν γὰ, ὡσπερεὶ βοτὸν,
Τρέφειν ἀνάγκη (πῶς γὰ ὔ;) τρόπῳ φρενός·
Οὐ γὰ τι φωνεῖ παῖς ἔτ' ὢν ἐν σπαργάνοις,
Η λιμὸς, ἢ δίψη τίς, ἢ λιψυρία
Εχῖ. νία δὲ νηδὺς αὐτάρκης τέκνων
Τύτων πέφυκλις ὖσα. πολλὰ δ' οἶδα,
Ψαδεῖσα παιδὸς σπαργάνων φαιδρύνλρια,
Γναφὰς τροφάς τε ταυτὸν εἰχέτην τέλος.
Εγὼ διπλᾶς δὲ τάσδε χειρωναξίας
Εχυσ', Ορέσην ἐξεδεξάμην πάλρί.
Τεθνηκότος δὲ νῦν τάλαινα πάθομαι.
Στείχω δ' ἐπ' ἄνδρα τῶνδε λυμανλήριον
Οἴκων, θέλων δὲ τῶνδε πάσ') λόγων.

ΧΟ. Πῶς ὦν κειλάει νιν μολεῖν ἐσαμβόον;

ΤΡ. Η πῶς; λέγ' αὖθις, ὡς μάθω ζαφέστερον.

ΧΟ. Εἰ ξὺν λοχίταις, εἴτε κ' μονοσιβῆ;

ΤΡ.

ΤΡ. Αγειν κελεύει δορυφόρους ὀπαόνας.
ΧΟ. Μὴ νῦν σὺ ταῦτ' ἄγγελλε διανότῳ σύγᾳ·
Αλλ' αὐτὸν ἐλθεῖν, ὡς ἀδειμάντως κλύῃ,
Ανωχθ' ὅσον τάχιστα γαθύσῃ φρενί.
Εν ἀγγέλῳ γὰ κρυπτὸς ὀρθώσῃ φρενί.
ΤΡ. Αλλ' ἢ φρονεῖς εὖ τοῖσι νῦν ἠγγελμένοις.
ΧΟ. Αλλ' εἰ τροπαίαν Ζεὺς κακῶν θήσῃ ποτέ.
ΤΡ. Καὶ πῶς; Ορέστης ἐλπὶς οἴχεθ' δόμων.
ΧΟ. Οὔπω· κακὸς γε μᾶλλις ἂν γνοίη τάδε.
ΤΡ. Τί φῄς; ἔχεις τι πρὸς λελεγμένων δίχα;
ΧΟ. Αγγελλ' ἴσσα, πρᾶσσε τἀπισταλμένα·
Μέλῃ θεοῖσιν ὥνπερ ἂν μέλῃ πέρι.
ΤΡ. Αλλ' εἶμι κἀγὼ τοῖς ταῦτα πείσομαι λόγοις.
Γένοιτο δ' ὡς ἄριστα σὺν θεῶν δόσει.

Αντιστροφικα. Στροφή.

ΧΟ. Νῦν παραγενμένη μοι, πάτερ
Ζεῦ θεῶν ὀλυμπίων,
Δὸς τύχας, τυχεῖν δέ μοι κυρίως
Τὰ ξώφρονα εὖ μεμομμένοις ἰδεῖν
Διαδικάσαι πᾶν ἔπος.
Ελαχον, Ζεῦ· σὺ δέ νιν φυλάσσοις.
Ε ἔ, πρὸ δὲ δηχθρῶν
Τῶν ἔσω μελάθρων, ὦ Ζεῦ, θές.
Επεί μιν μέγαν ἄρας,
Δίδυμα κἀ τριπλᾶ
Παλίμποινα θέλων ἀμείψῃ.

Αντιστροφή.

Ιδοὶ δ' ἀνδρὸς φίλτρα πῶλον εὖ
Νιν ζυγῶτ' ἐν ἅρμαξι
Πημάτων, ἐν δρόμῳ, πεσεῖσθαι
Μέτρον. τίς ἂν ξωζόμενον ῥυθμὸν

Τῦτ'

Τῦτ' ἰδεῖν δάπεδον,
Ανομβρων σημάτων ὄρεγμα;
Οἵ τ' ἔσωθε δωμάτων
Πανδαγαθῆ μυχὸν νομίζετε,
Κλύετε, Σύμφρονες θεοί.
Αγίτε, ὡς πάλαι πεπραγμένων
Λύσασθ' αἷμα πανσφάτοις δίκαις.

Μονοστρόφικα.

Γέρων φόνος μηκέτ' ἐν δόμοις τέκοι,
Τόδε καλῶς κλάμμον. ὦ
Μέγα ναίων τόμιον, εὖ
Δὸς ἀνιδεῖν δόμον ἀνδρὸς,
Καί νιν ἐλαθερίως
Λαμπρῶς τ' ἰδεῖν φιλίοις
Ομμασι δνοφερὰς
Καλύπτρας. ξυλλάβοι δ' ἐνδίκως
Παῖς ὁ Μαίας ἐπιφορώταλος
Πρᾶξιν ὑρίαν θέλων.
Πολλὰ δ' ἄλλα φανεῖ χρηίζων,
Κρυπτά. ἄσκοπον δ' ἔπος λέγων,
Νύκτα πρὸ τ' ὀμμάτων χρότον φέρει,
Καθ' ἡμέραν δ' ὑδὲν ἐμφανέστερος.
Καὶ τότε δὴ πλοῦτον
Δωμάτων λυτήριον,
Θῆλυν ὑριοσάταν
Ομῶ κρεκτὸν γοή-
των νόμον μεθήσομεν
Πόλει· τὰ δ' εὖ,
Εμὸν, ἐμὸν κέρδος ἀέξει τόδε·
Ατα δ' ἀποσατεῖ φίλων.
Σὺ δὲ θαρσῶν, ὅταν ἥκῃ

Μέρος

Μέρος ἔρ∫ων,
Επαύσας παλρὸς ἔρ∫ῳ,
Θρούσᾳ
Πρὸς σὸ τέκνον παλρὸς αὐδὰν,
Καὶ περαίνων ἐπίμομφον ἄταν,
Περσίως τέ ἐν φρεσὶ
Καρδίαν χέθων,
Τοῖς δ' ὑπὸ χθονὸς φίλοισιν,
Τοῖς τ' ἄνωθεν πεπράσων
Χάριτος ὀργὰς λυπρὰς, ἔνδοθεν
Φοινίαν ἄταν τιθεὶς,
Τὸν αἴτιον δ' ἐξαπολλὺς μόρυ.

Ιαμβοι.

ΑΙ. Ηκω μὲν ὐκ ἄκλη∫ος, ἀλλ' ὑπάγ∫ελος·
Νέαν φάτιν δὲ πάθομαι λέγειν τινὰς
Ξένης μολόν∫ας ὐδαμῶς ἐφίμερον,
Μόρον δ' Ορέσυ. κ' τόδ' ἀμφέρειν δόμοις
Γένοιτ' ἂν ἄχθος δειμαλοσαγὲς φόρῳ.
Τῷ πεύθεν ἑλκαίνον∫ι κ' δεδη∫μένῳ.
Πῶς ταῦτ' ἀληθῆ κ' βλέπον∫α δοξάσω;
Η πρὸς γυναικῶν δειματώμενοι λόγοι
Πεδάρσιοι ἐρώσκυσι, θνήσκον∫ες μάτην;
Τί τῶνδ' ἂν εἴποις ὥστε δηλῶσαι φρενί;

ΑΓ. Ηκύσαμεν μὲν, συνθάπυ δὲ τῆ∫δ ξένων
Εσω παρελθών. ὐδὲν ἀγγέλων θέτος,
Ως αὐτὸς αὐτῆ∫δ ἄνδρα πάθεσθαι πέρι.

ΑΙ. Ιδεῖν ἑλέγξαι τ' αὖ θέλω τὸν ἄγ∫ελον,
Εἴτ' αὐτὸς ἦν θνήσκον∫ος ἐ∫γύθεν παρὼν,
Εἴτ' ἐξ ἀμαυρᾶς κληδόνος λέγι μαθών·
Οὕτοι φρένα κλέψειαν ὠμμα∫ωμένην.

Ανάπαιστοι.

ΧΟ. Ζεῦ, Ζεῦ, τί λέγω, πόθεν ἄρξωμαι.
Τάδ' ἐπαχομένη, καὶπιθοάζουσ';
Ὑπὸ δ' ἀνοίας
Πῶς ἴσον εἰπῦσ' ἀνύσωμαι;
Νῦν γὰρ μέλλουσι μιαιθεισαι
Πειραὶ κοπάτων ἀνδροδαΐκτων,
Η πάτυ θήσειν Αγαμεμνονίων
Οἶκων ὄλεθρον διὰ παντὸς,
Η πῦρ ἢ φῶς ἐπ' ἐλαθερίᾳ
Δαΐων, ἀρχάς τι πολιοτορόμυς.
Ἔξει πατέρων μέγαν ὄλβον.
Τοιάνδε πάλην μόνος ὢν ἔφιδρος
Διοτοῖς μέλλῃ θείοις Ορίσης
Αψειν. εἴη δ' ἐπὶ νίκῃ.

ΑΙ. Ε, ἔ, ὀτοτοῖ.

ΧΟ. Εα, ἔα μάλα.
Πῶς ἔχει; πῶς κέκραγ' δόμοις;

Ιαμβοι.

Απωταθῶμεν πράγμαλος τιλυμένη.
Οπως δοκῶμεν τῶνδ' ἀναίτιαι κακῶν
Εἶναι. μάχης γὰρ δὴ κεκύρωται τέλος.

ΟΙ. Οἴμοι πάτ, οἴμοι διατότυ τιλυμένη.
Οἴμοι μάλ' αὖθις ἐν τρίτοις περσφθέγμασιν.
Αἴγισθος οὐκ ἔτ' ἐσίν. ἀλλ' ἀνοίξαλε
Οπως τάχιτα, γυναικείας πύλας
Μοχλοῖς χαλᾶτε· ἢ μάλ' ἠβῶντος δὶ δεῖ,
Οὐχ ὡς δ' ἀρῆξαι διαπεπραγμένῳ· τί γὰρ;
Ιὺ, ἰύ. κωφοῖς αὐτῶν, ἢ καθεύδουσιν μάτην
Ακραγλα βάζω. ποῖ Κλυταιμήτρα; τί δρᾷ;
Εοικε νῦν αὐτῆς ἐπὶ ξυρῷ πίλας

Αὐχὴν

Αὐχὴν πισεῖσθαι πρὸς δίκην πεπληγμένης.
ΚΛ. Τί δ' ἐστὶ χρῆμα; τίνα βοὴν ἔπης δόμοις;
ΟΙ. Τὸν ζῶντα παίων τὸν τεθνηκότας λόγῳ.
ΚΛ. Οἴ' ἐγώ. ξυνῆκα τοὔπος ἐξ αἰνιγμάτων.
Δόλοις ὀλώμεθ' ὥσπερ ὧν ἐκτείναμεν.
Δοίη τις ἀνδρόκμητα πέλεκυν ὡς τάχος·
Εἰδῶμεν εἰ νικῶμεν, ἢ νικώμεθα. 890
Ἐνταῦθα γὰρ δὴ τοῦδ' ἀφικόμην κακοῦ.
ΟΡ. Σὲ μὲν ματεύω· τῷδε δ' ἀρκούντως ἔχει.
ΚΛ. Οἴ' ἐγώ. τέθνηκας φίλτατ' Αἰγίσθου βία.
ΟΡ. Φιλεῖς τὸν ἄνδρα; τοὶ γὰρ ἐν ταὐτῷ τάφῳ
Κείσῃ. θανοῦσα δ' ὕστι μὴ πρέπουσ' ποτέ.
ΚΛ. Ἔπίσχες, ὦ παῖ, τόνδε δ' αἰδεσαι τίκτειν
Μαστὸν, πρὸς ᾧ σὺ πολλὰ δὴ βρίζων ἅμα,
Οὔλοισιν ἐξήμελξας ἀτραφὲς γάλα.
ΟΡ. Πυλάδη, τί δράσω; μητρὶ αἰδεισθῶ κτανεῖν; 900
ΠΥ. Πῶ δαὶ τὰ λοιπὰ Λοξίου μαντεύματα
Τὰ συνθόχρησα; πίστα δ' ὁρκώματα;
Ἀπάντας ἐχθροὺς τῶν θεῶν ἡγοῦ πλέον.
ΟΡ. Κρίνω σὲ νικᾶν, κἀ παραινεῖς μοι καλῶς.
Ἕπου, πρὸς αὐτὸν τόνδε σὲ σφάξαι θέλω.
Καὶ ζῶντα γὰρ νιν χρείσσονʼ ἡγήσω πατρὸς·
Τύτῳ θανοῦσα ξυγκάθευδ'· ἐπεὶ φιλεῖς
Τὸν ἄνδρα τοῦτον, ὃν δ' ἐχρῆν φιλεῖν, συγεῖς.
ΚΛ. Ἐγὼ σ' ἔθρεψα, νῦν δὲ γηράσᾳ θέλω.
ΟΡ. Πατροκτονοῦσα γὰρ ξυνοικήσεις ἐμοί; 910
ΚΛ. Ἡ μοῖρα τοῦτων ὦ τέκνον παραιτία.
ΟΡ. Καὶ τόνδε τοίνυν μοῖρ' ἐπόρσυνεν μόρον.
ΚΛ. Οὐδὲν ξυέζη γοῦν ἀρὰς τέκνον;
ΟΡ. Τεκοῦσα γὰρ μ' ἔρριψας εἰς τὸ δυσχέες.
ΚΛ. Οὔτοι σ' ἀπέρριψ' εἰς δόμους δορυξένους.

ΟΡ.

ΟΡ. Διχῶς ἐπράθην, ὧν ἐλεύθερα πατρός.
ΚΛ. Πῦ δῆθ' ὁ τιμὸς ὕστερ' ἀντιδεξάμην;
ΟΡ. Αἰσχύνομαί σοι τῦτ' ὀνειδίσας σαφῶς.
ΚΛ. Μὴ, ἀλλ' εἰφ' ὁμοίως ἢ πατρὸς τῦ σῦ μάτας.
ΟΡ. Μὴ 'λεγχε τὸν σονῦντ' ἔσω καθημμένη.
ΚΛ. Αλγος γυναιξὶν ἀνδρὸς εἴργεσθαι, τέκνον.
ΟΡ. Τρέφει δέ γ' ἀνδρὸς μόχθος ἡμᾶς ἔσω.
ΚΛ. Κτενεῖν ἔοικας, ὦ τέκνον, τὴν μητέρα.
ΟΡ. Σύ τοι σεαυτὴν, ὐκ ἐγὼ, καλακτενεῖς.
ΚΛ. Ορα, φύλαξαι μητρὸς ἐγκότους κύνας.
ΟΡ. Τὰς τῦ πατρὸς δὲ πῶς φύγω, πατρεὶς τάδε;
ΚΛ. Εοικα θρηνεῖν ζῶσα πρὸς τύμβον μάτην.
ΟΡ. Πατρὸς γὰ αἶσα τόνδε σ' ὁρίζει μόρον.
ΚΛ. Οἵ 'γὼ τηκῦσα τόνδ' ὄφιν ἐθρεψάμην.
Η κάρτα μάντις ὑ 'ξ ὀνειράτων φόβος.
ΟΡ. Κάτες γ' ὃν ὑ χρῆν, ἢ τὸ μὴ χρεὼν πάθε.
ΧΟ. Στένωμεν ὦν ἢ τῶνδε ξυμφορᾶν διπλῆν.
Επεὶ δὲ πολλῶν αἱμάτων ἐπήκρισε
Τλήμων Ορέσης, τῦθ' ὅμως ἀρύμεθα,
Οφθαλμὸν οἴκων μὴ πανώλεθρον πεσεῖν.

Επῳδικά. Στροφὴ.

Εμολε μὲν δίκα Πριαμίδαις χρόνῳ,
Βαρύδικος ποινά.
Εμολε δ' ἐς δόμον τὸν Αγαμέμνονος
Διπλῦς λέων, διπλῦς Αρης.
Ελακε δ' ἐς τὸ πᾶν
Ο πυθοχρήτας φυγάς.
Θεόθεν δὲ φραδᾶσιν ὠρμημένος
Επολολυξάτω διασσύντων δόμων,
Αναφυγὰς κακῶν, ἢ κλεάνων τριβάς,
Υπὸ δυοῖν μιασόροιν,

Δυσεί-

Δυσοίμυ τύχας.

Ἀντιστροφή.

Ἐμολε δ' ὦ μέλη κρυπταδίυ μάχας,
Δολιόφρων ποινά.
Ἐθιγε δὲ μάχα χερὸς ἐπήτυμος
Διὸς κύρα· δίκαν δέ νιν
Προσαγορδόμεν
Βροτοὶ τυχόντες καλῶς·
Ὀλέθριον πνέυσ' ἐν ἐχθροῖς κότον·
Τάπερ ὁ Λοξίας ὁ Παρνάσσιος,
Μέγαν ἔχων μυχὸν χθονὸς ἐπ' ὄχθυς·
Ἄξειν ἀδόλως δολίαν
Βλαπλομήαν ἐν χρόνοις
Θεῖσαν ἐποίχε).

Ἐπῳδός.

" Κρατεῖται πως τὸ θεῖον παρὰ τὸ μὴ
" Ὑπυργεῖν κακοῖς.
" Ἄξιον δ' ὑρανῦχον ἀρχὰν σέβειν,
Παρὰ τὸ φῶς ἰδεῖν, μέγαν τ' ἀφηρέθην
Ψάλιον οἴκων.
Ἀναγε μὰν δόμοις πολὺν ἄγαν χρόνον.
Χαμαιπετῆ (ε κεῖσ' ἀεὶ,
Τάχα δὲ παιδιλὶς χρόνος ἀμείψε)
Πρόθυρα δωμάτων, ὅταν ἀφ' ἑσίας
Μῦσος πᾶν ἐλάσῃ καθαρμοῖς
Ἅπαν ἐλατήριον. τύχα
Δ' ἀπροσώπῳ κοίτᾳ
Τὸ πᾶν ἰδεῖν, ἀκῦσαι θριομήοις.
Μελοικοδόμων
Πεσῦν) πάλιν, παρὰ τὸ φῶς ἰδεῖν.

Ιαμβοι.

ΟΡ. Ιδεσθε χώρας τὴν δικτῶν τυραννίδα,
Πάγροκλόνους τε δωμάτων παρθήτορας.
Σεμνοὶ μὲν ἦσαν, ἐν θρόνοις τόθ' ἥμενοι,
Φίλοι τε κ᾽ τῦν, ὡς ἐπεικάσαι πάθη
Πάρεσιν, ὅρκος τ' ἐμμένει πιστώμασι.
Ξυνώμοσαν μὲν θάνατον ἀθλίως πατρὶ,
Καὶ ξυθανεῖσθαι· κ᾽ τάδ' ὀρκωσ ἔχει.
Ἰδεσθε δ' αὖτε, τῶνδ' ἐπήκοοι κακῶν,
Τὸ μηχάνημα, δισμὸν ἀθλίῳ πατρὶ,
Πέδας τε χειροῖν κ᾽ ποδοῖν ξυναρμόσαι.
Ἐκλείνατ' αὐτὸν, κ᾽ κύκλῳ παρασαθὸς,
Στέγασρον ἀνδρῶν δείξαθ', ὡς ἴδοι πατὴρ,
Οὐχ ὑμὸς, ἀλλ' ὁ πάντ' ἐποπτεύων τάδε
Ηλιος, ἄναστα μητρὸς ἔργα τῆς ἐμῆς.
Ως ἂν παρῇ μοι μᾶρσυς ἐν δίκῃ ποτὲ,
Ως τόνδ' ἐγὼ μετῆλθον ἐνδίκως μόρον
Τὸν μητρός· Αἰγίσθυ γὰ᾽ ὡ λέχω μόρον·
Εχι γὰ᾽ αἰχυντῆρος ὧς τάμυ δίκην·
Ητις δ' ἐπ' ἀνδρὶ τῦτ' ἐμήσατο σύγος,
Ἐξ ὧ τέκνων ἤνεγκ' ὑπὸ ζώνην βάρος,
Φίλον τέως, νῦν δ' ἐχθρὸν, ὡς φανῇ, κακόν.
Τί σοι δοκεῖ; μύραινά γ' ἢ ἔχιδν' ἔφυ,
Σήπειν δίγυσ' ἂν ἄλλον, ὡ δεδηγμένον,
Τόλμης ἔκαλι κἀδίκυ φρονήματος.
Τί νιν παθσείπω, κἂν τύχω μάλ' ἀσεμνῶν;
Αγρωμα θηρὸς, ἢ νεκρᾶ ποδέν δυσον
Ἀρύτης καλασκήνωμα, δίκλινον μὲν ὤν.
Αρκυν δ' ἂν εἵποις γὰ᾽ ποδισῆρας πέπλυς.
Τοιῦτον ἂν κλήσαιτο φιλήτης ἀνὴρ,
Ξένων ἀπαγόλημα, κἀργυροστερῆ

Βίον

Βίον νομίζων· τῷδέ τ' ἂν δολωμάλι
Πολλὰς ἀναρχῶν, πολλὰ θερμαίνοι φρενί.
Τοιάδε μοι ξύνοικος ἐν δόμοισι μὴ
Γένοιτ'· ὀλοίμην κἀφθίτων ἐκ θεῶν ἄπαις.

Ἀνάπαιστοι.

ΧΟ. Αἳ, αἳ μεγάλων ἔργων·
Στυγερῷ θανάτῳ διεπράχθης.
Ε, ἔ, μίμνοντι δὲ καὶ πάθος ἀνθεῖ.

Ἰαμβοι.

Εδρασεν ἢ οὐκ ἔδρασε· μαρτυρεῖ δέ μοι
Φᾶρος τόδ', ὡς ἔβαψεν Αἰγίσθου ξίφος.
Φόνῳ δὲ κηκὶς ξὺν χρόνῳ ξυμβάλλεται),
Πολλὰς βαφὰς φθείρουσα τῷ ποικίλματος.
Νῦν αὐτὸν αἰνῶ, νῦν ἀποιμώζω παρὼν,
Παλροκλόνον θ' ὕφασμα κεκτφωτῶν τόδε.
Αλγῶ μὲν ἔργα καὶ πάθος, χἠμός τε πᾶν,
Αζηλα νίκας τῆσδ' ἔχων μιάσματα.

Ἀνάπαιστοι.

Οὔτις μερόπων αἰσυμνᾶ βιότου
Διὰ πάντ' ἄτιμος ἀμείψει)·
Ες μόχθον δ' ὁ μὲν αὐτίχ', ὁ δ' ἤξει.

Ἰαμβοι.

ΟΡ. Αλλος γ' ἂν εἰδῇ, τοῦτ' ἄρ' οἶδ' ὅπῃ τελεῖ,
Ωστερ ξὺν ἵπποις ἠνιοτρόφῳ δρόμῳ
Εξωτέρω. φέρουσι γὰρ νικώμενον
Φρένες δύσαρκτοι. πρὸς δὲ καρδίᾳ φόβος
Αδειν ἕτοιμος ἠδ' ὑπορχεῖσθαι κότῳ.
Εως δ' ἔτ' ἔμφρων εἰμὶ, κηρύσσω φίλοις,
Κτανεῖν τέ φημι μητέρ' οὐκ ἄτην δίκης.
Παλροκλόνου μιάσμα, χἠ θεῶν σύγος,
Καὶ φίλτρα τόλμης τῆσδε πλειστηρίζομαι

Τὰ-

Τὸν συθόμαντιν Λοξίαν, χρήσαντ' ἐμοὶ,
Πράξαντι μὲν ταῦτ', ἐκτὸς αἰτίας κακῆς
Εἶναι, παρέντι δ' οὐκ ἐρῶ τὴν ζημίαν.
Τόξῳ γὰρ ὕστις πημάτων πεφυσίξει.
Καὶ νῦν ὁρᾶτέ μ', ὡς παρεσκευασμένος
Ξὺν τῷδε θαλλῷ κ' στέφει, πεφυσίξομαι
Μεσόμφαλόν θ' ἵδρυμα Λοξίου πέδον,
Πυρός τε φέγγος ἄφθιτον κεκλημένον.
Φεύγειν τόδ' αἷμα κοινὸν, ὧδ' ἐφ' ἑστίαν
Ἄλλην τραπέσθαι Λοξίας ἐφίετο.
Τὰ δ' ἐν χρόνῳ μοι πάντας Ἀργείους λέγω
Καὶ μαρτυρεῖν μοι, λεὼς ἐπορσύνθη κακά.
Ἐγὼ δ' ἀλήτης τῆσδε γῆς ἀπόξενος
Ζῶν κ' τεθνηκὼς τάσδε κηδόνας λιπών.
Ἀλλ' εὖτε πράξας, μηδ' ἐπιζάλχθῃ σόμα
Φῆμαι πονηραὶ, μηδ' ἐπιγλωσσῶ κακά·
Ἐλεύθερώσας πᾶσαν Ἀργείην πόλιν,
Δυοῖν δρακόντοιν ἀπετῶς τεμὼν κάρα.
Ἀ ἀ. δμωαὶ γυναῖκες, αἵδε Γοργόνων δίκην
Φαιωχίτωνες, κ' πεπλεκτανημέναι
Πυκνοῖς δράκυσιν· οὐκ ἔτ' ἂν μείναιμ' ἐγώ.

ΧΟ. Τίνες σὲ δόξαι, φίλτατ' ἀνθρώπων πάτρι,
Στροβοῦσιν; ἴσχε, μὴ φοβοῦ νικῶν πολύ.

ΟΡ. Οὐκ εἰσὶ δόξαι τῶνδε πημάτων ἐμοί.
Σαφῶς γὰρ αἵδε μητρὸς ἔγκοτοι κύνες.

ΧΟ. Πολαίτιον γὰρ αἷμά σοι χεροῖν ἔτι·
Ἐκ τῶνδέ τοι ταραγμὸς ἐς φρένας πίλνει.

ΟΡ. Ἄναξ Ἀπολλον, αἵδε πληθύνσι δὴ,
Κἀξ ὀμμάτων σάζουσιν αἷμα δυσφιλές.

ΧΟ. Εἶσω καθαρμός. Λοξίου δὲ πρόσπολος,
Ἐλεύθερόν σε τῶνδε πημάτων κλίσει.

ΟΡ.

ΟΡ. Ὑμεῖς μὲν οὐχ ὁρᾶτε τάσδ', ἐγὼ δ' ὁρῶ·
Ἐλαύνομαι δὲ, κ' οὐκ ἔτ' ἂν μείναιμ' ἐγώ.
ΧΟ. Ἀλλ' ἀτυχοίης, καί σ' ἐποπλάων φρόφρων
Θεὸς φυλάσσοι καιρίοις ἐν ξυμφοραῖς.
Ἀνάπαιστοι.
Ὁδὲ τοι μελάθροις τοῖς βασιλείοις
Τρίτος αὖ χειμὼν
Πνεύσας γονίας ἐτελέωθη.
Παιδόμοροι μὲν πρῶτον ὑπῆρξαν
Μόχθοι τάλανίς τε Θυέστου·
Δεύτερον ἀνδρὸς βασίλεια πάθη· 1070
Λυδροδαΐκλος δ' ὤλετ' Ἀχαιῶν
Πολέμαρχος ἀνήρ.
Νῦν δ' αὖ τρίτος ἦλθέ ποθεν ξωτήρ·
Ἢ μόρον εἶπω.
Ποῖ δῆτα κραναῖ, ποῖ καλαλήξει
Μελανοιμιοδὴν μῶλος Ἄτης;

ΑΙΣΧΥΛΟΥ

ΑΓΑΜΕΜΝΩΝ.

ΥΠΟΘΕΣΙΣ.

Αγαμέμνων εἰς Ιλιον ἀπιὼν, τῇ Κλυταιμνήστρᾳ, εἰ σωρθήσει τὸ Ιλιον, ὑπέχελο τῆς αὐτῆς ἡμέρας (ημαίνειν διὰ συρσῦ. ὅθεν (χοπὸν ἐκάθισεν ἐπὶ μιαθῷ Κλυταιμνήστρα ἵνα τηροίη τὸν συρσόν. ϗ ὁ μὲν ἰδὼν ἀπήγγειλεν· αὐτὴ δὲ τὸν ΨΨ σρεσβυτῶν ὄχλον μελαπέμπε), σερὶ τῦ συρσῦ ἐρῦσα· ἐξ ὧν ϗ ὁ χορὸς (υνίσα)· οἵτινες ἀκύσανλες σαγανίζυσι. μετ' ὀ σολὺ δὲ ϗ Ταλθύβιος σαραγίνε), ϗ τὰ καλὰ τὸν σλῶν διηγεῖται. Αγαμέμνων δ' ἐπὶ ἁπήνης ἔρχε)· εἵπελο δ' αὐτῷ ἑτέρα ἁπήνη, ἔνθα ἦν τὰ λάφυρα ϗ ἡ Κασάνδρα. αὐτὸς μὲν ὖν σεσεισέρχε) εἰς τὸν οἶκον σὺν τῇ Κλυταιμνήστρᾳ. Κασάνδρα δὲ σεσμανλάε), σρὶν εἰς τὰ βασίλεια εἰσελθεῖν, τὸν ἑαυτῆς ϗ τῦ Αγαμέμνονος θάναλον, ϗ τὴν ἐξ Ορέσυ μιλροκλονίαν, ϗ εἰαπηδᾷ ὡς θανυμῴη, ῥίψασα τὰ σέμματα. τῦτο δὲ τὸ μέρος τῦ δράματος θαυμάζε), ὡς ϗ ἔκπληξιν ϗ οἶκλον ἱκανὸν ἐμποιεῖν. ἰδίως δὲ Αἰχύλος τὸν Αγαμέμνονα ἐπὶ (κηνῆς ἀναιρεῖσθαι σοιεῖ· τὸν δὲ Κασάνδρας (ωπήσας θάναλον, νεκρὰν αὐτὴν ὑπέδειξε. σεποίηκέ τε Αἴγισθον ϗ Κλυταιμνήσραν, ἑκάτερον διϊχυριζόμενον σερὶ τῆς ἀναιρέσεως, ἑνὶ κεφαλαίῳ· τὴν μὲν τῇ ἀναιρέσει Ιφιγ(ειας· τὸν δὲ, ταῖς τῦ σαλρὸς Θυέσυ ἐξ Ατρέως (υμφοραῖς.

Εδιδάχθη τὸ δρᾶμα ἐπὶ ἄρχονλος Φιλοκλέυς, ὀλυμπιάδι εἰκοσῇ ὀγδόῃ, ἔτι δευτέρῳ. σρῶτος Αἰχύλος Αγαμέμνονι, Χοηφόροις, Εὐμενίσι, Πρωτεῖ (ατυρικῷ. ἐχορήγει Ξενοκλῆς Αφιδνάε.

ΤΑ

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΦΥΛΑΞ.

ΧΟΡΟΣ.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

ΤΑΛΘΥΒΙΟΣ κήρυξ.

ΑΓΑΜΕΜΝΩΝ.

ΚΑΣΣΑΝΔΡΑ.

ΑΙΓΙΣΘΟΣ.

Προλογίζει δὲ ὁ φύλαξ, θεράπων Ἀγαμέμνονος.

ΑΓΑΜΕΜΝΩΝ.

Ιαμβοι.

ΦΥ.

ΘΕΟΥΣ μὲν αὐτῶ τῶνδ' ἀπαλλαχὴν πόνων,
Φρυρᾶς ἐτείας μῆκος, ἣν κοιμώμενος
Στέγαις Ατρειδῶν ἄγκαθεν, κυνὸς δίκην,
Ἄστρων κάτοιδα νυκτέρων ὁμήγυριν,
Καὶ τοὺς φέροντας χεῖμα καὶ θέρος βροτοῖς
Λαμπρὰς δυνάστας, ἐμπρέποντας αἰθέρι
Ἀστέρας, ὅταν φθίνωσιν, ἀνατολάς τε τῶν.
Καὶ νῦν φυλάσσω λαμπάδος τὸ σύμβολον,
Αὐγὴν πυρὸς φέρουσαν ἐκ Τροίας φάτιν,
Ἀλώσιμόν τε βάξιν· ὧδε γὰρ κρατεῖν
Γυναικὸς ἀνδρόβουλον ἐλπίζω κέαρ.
Εὖτ' ἂν δὲ νυκτίπλαγκτον ἔνδροσόν τ' ἔχω
Εὐνὴν ὀνείροις οὐκ ἐπισκοπουμένην
Ἐμὴν, φόβος γὰρ ἀνθ' ὕπνου παρασατεῖ,
Τὸ μὴ βεβαίως βλέφαρα συμβαλεῖν ὕπνῳ.
Ὅταν δ' ἀείδειν ἢ μινύρεσθαι δοκῶ,
Ὕπνου τόδ' ἀντίμολπον ἐντέμνων ἄκος,
Κλαίω τότ' οἶκον τῶνδε συμφορὰν στένων,
Οὐχ ὡς τὰ πρόσθ' ἄριστα διαπονουμένου.
Νῦν δ' εὐτυχὴς γένοιτ' ἀπαλλαγὴ πόνων,
Εὐαγγέλου φανέντος ὀρθαίου πυρός.
Ὦ χαῖρε λαμπτὴρ νυκτὸς, ἡμερήσιον
Φάος πεφαύσκων, καὶ χορῶν καλάσασιν
Πολλῶν ἐν Ἄργει, τῆσδε συμφορᾶς χάριν.
Ἰὼ, ἰώ.

Αγα-

Αγαμέμνονος γυναικὶ (ημανῶ τορῶς,
Εὐνῆς ἐπαντείλασαν ὡς τάχος, δόμοις
Ολολυγμὸν ἀφημῦναι τῇδε λαμπάδι
Επορθιάζειν, εἴπερ Ιλίου πόλις
Ἑάλωκεν, ὡς ὁ φρυκτὸς ἀγγέλλων πρέπει.
Αὐτός τ' ἔγωγε φροίμιον χορεύσομαι·
Τὰ δεσποτῶν γὰρ εὖ πεσόντα δίπτομαι,
Τρὶς ἓξ βαλούσης τῇσδέ μοι φρυκτωρίας.
Γένοιτο δ' ὖν μολόντος ἀφιλῆ χέρα
Ανακτος οἴκων τῇδε βασάσαι χερί.
Τὰ δ' ἄλλα (ιγῶ, βοῦς ἐπὶ γλώσσῃ μέγας
Βέβηκεν· οἶκος δ' αὐτὸς, εἰ φθογγὴν λάβοι,
Σαφέστατ' ἂν λέξειεν, ὡς ἐκὼν ἐγὼ
Μαθοῦσι αὐδῶ, κ' ὐ μαθοῦσι λήθομαι.

Ανάπαιστοι.

ΧΟ. Δίκαιον μὲν ἔτος τόδ' ἐπεὶ Πριάμου
Μέγας ἀνίδικος,
Μενέλαος ἄναξ ἠδ' Αγαμέμνων,
Διθρόνου Διόθεν κὴ διοκήπλου
Τιμῆς, ὀχυρὸν ζεῦγος Ατρειδᾶν,
Στόλον Αργείων χιλιοναύταν
Τῆσδ' ἀπὸ χώρας
Ἦραν, τραλιῶτιν ἀρωγάν,
Μέγαν ἐκ θυμοῦ κλάζοντες Αρη·
Τρόπον αἰγυπιῶν, οἵτ', ἐκπαλίοις
Αλγεσι παίδων, ὕπαλοι λεχέων
Στροφοδινοῦν),
Πτερύγων ἐρετμοῖσιν ἐριστόμφοι,
Δεμνιοτήρη
Πόνον ὀρταλίχων ὀλέσαντες·
Ὑπαλος δ' αἰῶν, ἤτις Απόλλωνα

Η Παὶ-

Η Παὶ, ἢ Ζεύς, οἰωνόθρονον
Γόον ὀξυβόαν
Τῶνδε μιλοίκων, ὑστερόπονον
Πέμπει παραβᾶσιν ἐριννύν.
Οὕτω δ' Ατρέως παῖδας ὁ πρέσβων
Επ' Αλεξάνδρῳ πέμπει ξένιος
Ζεύς, πολυάνορος ἀμφὶ γυναικὸς,
Πολλὰ παλαίσματα γυιοβαρῆ,
Γόνατος κονίαισιν ἐρειδομένου,
Διακναιομένης τ' ἐν πεδιλείοις
Κάμμακος, θήσων Δαναοῖσι
Τρωσί θ' ὁμοίως. ἔρει δ' ὅπη νῦν
" Εστι· τελεῖται δ' ἐς τὸ πεπρωμένον.
" Οὔθ' ὑποκλαίων, οὔθ' ὑπολείβων,
" Οὔτε δακρύων, ἀπύρων ἱερῶν
" Οργὰς ἀτενὴς παραβάλλει.
Ημεῖς δ' ἀτίτᾳ ζαρκὶ παλαιᾷ
Τῆς τότ' ἀρωγῆς ὑπολειφθέντες
Μίμνομεν, ἰσχὺν
Ισόπαιδα νέμοντες ἐπὶ ζυπλροις.
Οτε γὰ νεαρὸς μυελὸς τέρνων
Εντὸς ἀνάκτων
Ισόπρεσβυς, ἄρης δ' ὡς ἔνι χώρᾳ,
Τόθ' ὑπέργηρων φυλλάδος ἥδη
Καλαχαρφομένης, τρίποδας μὲν ὀδοὺς
Στείχει, παιδὸς δ' ὑδὲν ἀρείων,
Οναρ ἡμερόφαντον ἀλαίνει.
Σὺ δὲ, Τυνδάρεω
Θύγατερ, βασιλεία Κλυταιμνήστρα,
Τί χρέος; τί νέον; τί δ' ἐπαγγελμένη,
Τίνος ἀγγελίας

Πειθοῖ

Πειθοῖ περίπτυκτα θυοσκόεις;
Πάντων δὲ θεῶν τῶν ἀσυνόμων,
Ὑπάτων, χθονίων,
Τῶν τ' ὑρανίων, τῶν τ' ἀγοραίων,
Βωμοὶ δώροισι φλέγον)·
Αλλη δ' ἄλλοθεν ὑρανομήκης
Λαμπὰς ἀνίσχει,
Φαρμασσομένη χρίσμασιν ἀγνοῦ
Μαλακαῖς ἀδόλοισι παρηγορίαις,
Πειθάνῳ μυχόθεν βασιλείῳ.
Τούτων λέξασ' ὅ, τι μὴ θέμιτὸν
Καὶ θέμις αἰνεῖν,
Παίων τε γλῶς τῆσδε μερίμνης,
Η νῦν τοτὲ μὲν κακόφρων τελέθει,
Τοτὲ δ' ἐκ θυσιῶν ἀγανὰ φαίνει
Ελπὶς ἀμύνει φροντίδ' ἄπλητον,
Τὴν θυμοβόρον λύπης φρένα.

Επωδικα. Στροφή.

Κύριός εἰμι θροεῖν ὅδιον κράτος
Αἴσιον ἀνδρῶν
Εκτελέων ἔτι μὴ θεόθεν καλαπτέων
Πειθὼ μολπᾶν,
Αλκᾶν σύμφυλος αἰὼν,
Οπως Αχαιῶν
Δίθρονον κράτος, Ελλάδος ἦβαν,
Ξύμφρονα ταγάν,
Πέμπῃ ξὺν δορὶ δίκας πράκτορι
Θούριος ὄρνις τελεσίδ' ἐπ' ἄταν.
Οἰωνῶν βασιλῆς
Βασιλεῦσι νεῶν, ὁ μελαγχὴς,
Ο, τ' ἐξόπιν ἀργίας,

Φανέντες ἔκλαρ μελάθρων,
Χερὸς ἐκ δορυπάλτα,
Παμπρέπτοις ἐν ἕδραισι.
Βοσκόμενοι λαγίναν
Ερικύμονα φέρβοντο γήναν,
Βλαβέντα λοιθίων δρόμων.
Αἴλινον, αἴλινον εἰπὲ, τὸ δ' εὖ νικάτω.

Αντιστροφή.

Κεδνὸς δὲ τραλόμαντις ἰδὼν δύο
Λήμασι διοτὺς
Ατρείδας μαχίμους, ἐδάη λαγοδαίτας,
Πομπύς τ' ἀρχύς·
Οὕτω δ' εἶπε τεράζων·
Χρόνῳ μὲν ἀγρεῖ
Πριάμου πόλιν ἄδε κέλαθος,
Πάντα δὲ πύργων
Κτήνη πρόδοτα τὰ δημιοπληθῆ
Μοῖρ' ἀλαπάξει πρὸς τὸ βίαιον.
Οἷον μήτις ἄτα
Θεόθεν κνεφάσῃ πρόσυπὲν
Στόμιον μέγα Τροίας
Στρατόθέν. οἴκῳ γὰ ἐπί-
φθονος Αρτεμις ἀγνὰ,
Πτανοῖσι κυσὶ πατρὸς,
Αὐτότοκον πρὸ λόχου
Μογερὰν πῶκα δυομένοισιν·
Στυγεῖ δὲ δεῖπνον αἰετῶν
Αἴλινον, αἴλινον εἰπὲ, τὸ δ' εὖ νικάτω.

Επῳδός.

Τόσσον περ εὔφρων ἀ καλὰ
Δρόσοισιν αἰπλοισι μαλερῶν ὄντων,

Πάντων,

Πάντων τ' ἀγρονόμων φιλομάστοις
Θηρῶν ὀβρικάλοισι, τερπτὰ
Τύτων αἰτεῖ ξύμβολα φάναι.
Δεξιὰ μὲν, καλά-
μομφα δὲ φάσματα τρυθῶν.
Ἰήϊον δὲ καλέω Παιᾶνα,
Μή τινας ἀντιπνόους
Δαναοῖς χρονίας ἐχεπτίδας
Ἁπλοίας τεύξῃ,
Σπευδομήνα θυσίαν
Ετέραν, ἄνομόν τιν', ἄδαιτον,
Νεικέων τέκτονα σύμ-
φυτον, ὑ δεισήνορα. μίμνει
Γὰρ φοβερὰ παλίνορσος
Οἰκονόμος δολία,
Μνάμων μῆνις τεκνόποινος.
Τοιάδε Κάλχας ξὺν
Μεγάλοις ἀγαθοῖς ἀπέκλαγξεν
Μόρσιμ' ἀπ' ὀρνίθων
Οδίων οἴκοις βασιλείοις·
Τοῖς δ' ὁμόφρονον
Αἴλινον, αἴλινον εἰπὲ, τὸ δ' εὖ νικάτω.

Αντιστροφικα. Στροφὴ ά.

Ζεύς, ὅστις ποτ' ἐστὶν, εἰ τόδ' αὐ-
τῷ φίλον κεκλημένῳ,
Τῦτό νιν προσεννέπω.
" Οὐκ ἔχω προσεικάσαι,
" Πάντ' ἐπισταθμώμενος,
" Πλὴν Διὸς, εἰ τόδε μάταν
" Ἀπὸ φροντίδος ἄχθος
" Χρὴ βαλεῖν ἐτητύμως.

Αντι-

Αντιστροφὴ α'.

" Οὐδ' ὅσις πάροιθεν ἦν μέγας
" Παμμάχῳ θράσει βρύων,
" Οὐδέν τι λέξαι πρὶν ὢν,
" Ος δ' ἔπειτ' ἔφυ, τρια-
" χῆρος οἴχεται τυχών.
" Ζῆνα δέ τις φρονῶν
" Επινίκια κλάζων,
" Τάξει φρενῶν τὸ πᾶν.

Στροφὴ β'.

" Τὸν φρονεῖν βροτοὺς ὁδώ-
" σαντα, τῷ πάθει μαθὼν
" Θέντα κυρίως ἔχειν.
" Στάζει δ' ἐν ὕπνῳ πρὸ καρδίας
" Μνησιπήμων πόνος·
" Καὶ παρ' ἄκοντας ἦλθε σωφρονεῖν.
Δαιμόνων δέ που χάρις, βιαίως
Σέλμα σεμνὸν ἡμένων.

Αντιστροφὴ β'.

Καὶ τόθ' ἡγεμὼν ὁ πρέσβυς
Νεῶν Αχαϊκῶν,
Μάντιν ὅτινα ψέγων,
Εμπαίοις τύχαισι συμπνέων,
Εὖτ' ἀπλοίᾳ κεναγεῖ
Βαρύνοντ' Αχαϊκὸς λεώς,
Χαλκίδος πέραν ἔχων σαλιρρό-
θοις ἐν Αὐλίδος τόποις·

Στροφὴ γ'.

Πνοαὶ δ' ἀπὸ Στρυμόνος μολοῦσαι
Κακόσχολοι, νήσιδες, δύσορμοι
Βροτῶν ἄλαι, ναῶν

Καὶ

Καὶ πεισμάτων ἀφειδεῖς,
Παλιμμήκη χρόνον τιθᾶσαν
Τρίβῳ, κατέξαινον ἄνθος Ἀργείων.
Ἐπεὶ δὲ χ̓ ὡκρῦ
Χείμαλος ἄλλο μῆχαρ
Βριθύτερον πεύκοισι
Μάντις ἔκλαγξε, πρεσφέρων
Ἄρτεμιν, ὥστε χθόνα βάκτρον
Ἐπικρύσαντες Ἀτρεΐδαι
Δάκρυ μὴ καταχεῖν.

Ἀντιστροφὴ γ'.

Ἀναξ δ' ὁ πρέσβυς τόδ' εἶπε φωτῶν·
Βαρεῖα μὲν κὴρ τὸ μὴ πείθεσθαι·
Βαρεῖα δ' εἰ τέκνον
Δάΐξω, δόμων ἄγαλμα,
Μιαίνων παρθενοσφάγοισι
Ῥείθροις πατρώους χέρας, βωμῷ
Πέλας. Τί τῶνδ' ἄτερ
Κακῶν; τί; πῶς λειπόναυς τὶ γήρωμαι,
Ξυμμαχίας ἀμάρτων;
Παυσανέμου χ̓ ὑσίας
Παρθενίου θ' αἵματος ὀργᾶς
Περιόρθως ἐπεθυμεῖν
Θέμις· εὖ χ̓ εἴη.

Στροφὴ δ'.

Ἐπεὶ δ' ἀνάγκας ἔδυ λέπαδνον
Φρενὸς νέων δυσεβῆ τροπαίαν,
Ἀναγνον, ἀνίερον,
Τόθεν τὸ παντότολμον
Φρονεῖν μετέγνω βροτοῖς.
Θρασύνει χ̓ αἰσχρόμητις

Τάλαινα παρακοπὰ πρωλοπήμων.
Ετλα δ' ὧν θυτὴρ γλυέσθαι θυγατρὸς
Γυναικοποίνων πολέμων ἀρωγάν,
Καὶ προτέλεια ναῶν·
Λιτὰς δὲ καὶ κληδόνας πατρῴους
Παρ' ὐδὲν ἀγῶνα παρθένιον
Εθεντο φιλόμαχοι βραβῆς.

Αντιστροφὴ δ'.

Φράσειν δ' ἀόζοις πατὴρ μετ' ὄχθαν,
Δίκαν χιμαίρας ὕπερθεν βωμοῦ
Πέπλοισι περιπετῆ,
Παντὶ θυμῷ προνοπτῆ
Λαβεῖν αἴρδην, τόμα-
τός τε καλλιπρώρυ
Φυλακὰν καλαχεῖν, φθόγγον ἀρᾶγον οἴκοις,
Βίᾳ χαλινῶν τ' ἀναύδῳ μύσει.
Κρόκυ βαφὰς δ' ἐς πέδον χέυσ', ἕβαλ' ἕκαστον
Θυτήρων ἀπ' ὄμματος βέλτ φιλοίκτῳ,
Πρέπυσά θ' ὡς ἐν γραφαῖς, προσεννέπειν
Θέλυσ', ἐπεὶ πολλάκις πάλῃσι κατ' ἀνδρῶνας
Εὐτραπέζυς ἔμελψεν.

Στροφὴ ε'.

Αγνὰ δ' ἀταύρωτος
Αὐδᾷ πατρὸς φίλυ τριτόπατρον εὔπολιν
Αἰῶνα φίλως ἐτίμα.
Τὰ δ' ἔνθεν ὔτ' εἰδον, ὔτ' ἐννέπω.
Τέχναι δὲ Κάλχαντος οὐκ ἄκραντοι.
Δίκα δὲ τοῖς μὲν παθοῦσι μαθεῖν
Επιῤῥέπτ τὸ μάλλον.

Αντιστροφὴ ε'.

Τὸ δὲ προκλύειν,

Επεὶ

Επεὶ ᾔοιτ' ἂν ἡ λύσις, πεσχαρέτω·
Ισον δὲ τῷ πεσέϊεειν.
Τορὸν γὰ ἥξει ξύναρθρον ἀὐτᾶις.
Πέλοιτο δ' ὧν τἀπὶ τύτοις εὔπρα-
ξις, ὡς θέλῃ τόδ' ἄγχισον ἀπίας
Γαίας μονόφρυρον ἔρκος.

Ιαμβοι.

Ηκω ξεβίζων σὸν, Κλυταιμνήστρα, κράτος·
Δίκη γὰ ἐσι φωτὸς ἀρχηγῦ τίειν
Γυναῖκ', ἐρημωθέντος ἄρσενος θρόνυ.
Σὺ δ' εἴτε κεδνὸν, εἴτε μὴ, πεπυσμένη,
Εὐαγγέλοισιν ἐλπίσιν θυηπολεῖς.
Κλύοιμ' ἂν εὔφρων· ὑδὲ ξυγώση φθόνος.

ΚΛ. Εὐάγγελος μὲν, ὥσπερ ἡ παροιμία,
Εως ᾔοιτο μητρὸς ἄφρόντις πάρα.
Πᾶση δὲ χάρμα μεῖζον ἐλπίδος κλύειν.
Πριάμυ γὰ ἡρήκασιν Αργεῖοι πόλιν.

ΧΟ. Πῶς φῄς; πέφαγε τῦπος ἐξ ἀπιστίας.

ΚΛ. Τροίαν Αχαιῶν ἴσαν· ἢ τορῶς λέγω;

ΧΟ. Χαρά μ' ὑφέρπει, δάκρυον ἐκκαλυμμήν.

ΚΛ. Εὖ γὰ φρονοῦντος ὄμμα ξυ καληγορεῖ.

ΧΟ. Τί γὰ τὸ σιτὸν ἐσι τῶνδέ ξοι τέκμαρ;

ΚΛ. Εσιν· τί δ' ὐχί; μὴ δολώσαντος θεῦ.

ΧΟ. Πότερα δ' ὀνείρων φάσματ' ἀπειθῆ σέβεις;

ΚΛ. Οὐ δόξαν ἂν λάβοιμι βριζύσης φρενός.

ΧΟ. Αλλ' ἦ σ' ἐπίανέν τις ἄπλερος φάτις;

ΚΛ. Παιδὸς νέας ὡς, κἀρτ' ἐμωμήσω φρένας.

ΧΟ. Ποίυ χρόνυ δὲ γ' πεπόρθη πόλις;

ΚΛ. Τῆς νῦν τεκύσης φῶς τόδ' ἄφρόντις, λέγω.

ΧΟ. Καὶ τίς τόδ' ἐξίκοιτ' ἂν ἀγγέλων τάχος;

ΚΛ. Ηφαιστος Ιδης λαμπρὸν ἐκπέμπων σέλας.

Φρυκτὸς

Φρυκτὸς δὲ φρυκτὸν δεῦρ' ἀπ' ἀσγέλω πυρὸς
Επεμπεν. Ἰδὴ μὲν, πρὸς Ερμᾶον λέπας
Λήμνυ· μέγαν δὲ φανὸν ἐκ νήσου τρίτον
Αθωον αἶπος Ζηνὸς ἐξεδέξατο,
Υπεὶρ Ελης τε πόντον ὥστε νωτίσαι
Ισχὺς πορθμῆ λαμπάδος πρὸς ἡδονὴν
Πάκη, τὸ χρυσοφεγγὲς, ὥσις ἥλιος,
Σέλας παραγγείλασα Μακίστου σκοπᾶς·
Ο δ' ὕτι μέλλων, οὐδ' ἀφρασμόνως ὕπνῳ
Νικώμενος, παρῆκεν ἀγγέλου μέρος·
Εκας δὲ φρυκτῆ φῶς ἐπ' Εὐρίπου ροὰς
Μεσαπίου φύλαξι σημαίνει μολών.
Οἱ δ' ἀντέλαμψαν, καὶ παρήγγειλαν πρόσω,
Γραίας ἐρείκης θωμὸν ἅψαντες πυρί.
Σθένουσα λαμπὰς δ' οὐδέπω μαυρουμένη,
Υπερθοροῦσα πεδίον Ασωπῦ, δίκην
Φαιδρᾶς σελήνης, πρὸς Κιθαιρῶνος λέπας
Ηγειρεν ἄλλην ἐκδοχὴν πομπῆ πυρός·
Φάος δὲ τηλέπομπον οὐκ ἠναίνετο
Φρυρὰ, πλέον καίουσα τῆς εἰρημένων·
Λίμνην δ' ὑπὲρ γοργῶπιν ἔσκηψεν φάος·
Ορος τ' ἐπ' αἰγίπλαγκτον ἐξικνούμενον,
Ωτρυνε θεσμὸν μὴ χαρίζεσθαι πυρός.
Πέμπουσι δ' ἀνδαίοντες ἀφθόνῳ μένει
Φλογὸς μέγαν πώγωνα, καὶ Σαρωνικὸν
Πορθμὸν κάτοπτον πρῶν ὑπερβάλλειν πρόσω
Φλέγουσαν· εἶτ' ἔσκηψεν, εἶτ' ἀφίκετο
Αραχναῖον αἶπος, ἀσυγείτονας σκοπάς·
Κἄπειτ' Ατρειδῶν ἐς τόδε σκήπτει στέγος
Φάος τόδ' οὐκ ἄπαπτον Ἰδαίου πυρός.
Τοιοίδ' ἕτυμοι λαμπαδηφόρων νόμοι,

Αλλος

Αλλος παρ' ἄλλυ διαδοχαῖς πληρύμφυοι·
Νικᾷ δ' ὁ πρῶτος καὶ τελευταῖος δραμών.
Τέκμαρ τοιοῦτο σύμβολόν τε (οἱ λέγω,
Ανδρὸς παραγγείλαντος ἐκ Τροίας ἐμοί.
ΧΟ. Θεοῖς μὲν αὖθις, ὦ γύναι, πεσσώμεθα.
Λόγυς δ' ἀκοῦσαι τοῖσδε καὶ θαυμάσαι
Διηνεκῶς θέλοιμ' ἄν, ὡς λέγοις πάλιν.
ΚΛ. Τροίαν Αχαιοὶ τῆδ' ἔχυσ' ἐν ἡμέρᾳ.
Οἶμαι βοὴν ἄμικτον ἐν πόλει πρέπειν.
Οξος τ' ἄλειφά τ' ἐγχέας ταυτῷ κύτει,
Διχοστατοῦντ' ἂν οὐ φίλως πεφυκότοις.
Καὶ ἀλόντων καὶ κραιπνάντων δίχα
Φθογγὰς ἀκούειν ἐστὶ (υμφορᾶς διπλῆς.
Οἱ μὲν γὰρ ἀμφὶ (ώμασιν πεπλωκότες
Ανδρῶν κασιγνήτων τε καὶ φυταλμίων,
Παῖδες γερόντων, ὑκέτ' ἐξ ἐλεύθερυ
Δέρης ἀποιμώζυσι φιλτάτων μόρον.
Τὺς δ' αὖτε νυκτίπλαγκτος ἐκ μάχης πόνος
Νῆσις πρὸς ἀρίστοισιν, ὧν ἔχει πόλις,
Τάσσει πρὸς οὐδὲν ἐν μέρει τεκμήριον.
Αλλ' ὡς ἕκαστος ἔπασεν τύχης πάλον,
Εν αἰχμαλώτοις Τρωϊκοῖς οἰκήμασιν
Νέυσιν ἤδη, πρὸς ὑπαυθρίων πάγων
Δρόσων τ' ἀπαλλαχθύτες, ὡς δυσδαίμονες
Αφύλακτον ἀδήσυσι πᾶσαν ἀφρόνην.
Εἰ δ' ἀσεβοῦσι τὺς πολισύχυς θεὺς
Τὺς τῆς ἁλύσης γῆς, θεῶν δ' ἱδρύματα,
Οὐκ ἄν γ' ἐλόγλες αὖθις αὖ θάνοιεν ἄν.
Ερως δὲ μή τις ὕστερον ἐμπίπλῃ στρατῷ
Ποθεῖν ἃ μὴ χρὴ, κέρδεσιν νικωμένυς.
Δεῖ γὰρ πρὸς οἴκυς νοσίμυ (ωτηρίας

Κάμψαι διαύλου θάτερον κῶλον πάλιν.
Θεοῖς δ' ἀναμπλάκητος εἰ μόλοι στρατὸς,
Εγρήγορον τὸ πῆμα τῆς ὁλωλότων
Γένοιτ' ἄν, εἰ προπαγα μὴ τύχοι κακά.
Τοιαῦτά τοι γυναικὸς ἐξ ἐμῆς κλύοις.
Τὸ δ' εὖ κραίνοι, μὴ διχορρόπως ἰδεῖν.
Πολλῶν γὰ ἐσθλῶν τὴν ὄνησιν εἰλόμην.

ΧΟ. Γύναι, κατ' ἄνδρα ζώφρον' ἀφρόνως λέγεις.
Εγὼ δ' ἀκούσας πιστά ζοι τεκμήρια,
Θεὰς προσειπεῖν εὖ παρασκάζομαι.
Χάρις γὰ οὐκ ἄτιμος ἔργασαι πόνων.

Ανάπαιστοι.

Ω Ζεῦ βασιλεῦ, καὶ νὺξ φιλία,
Μεγάλων κόσμων κλεάτειρα,
Η τ' ἐπὶ Τροίας πύργοις ἔβαλες
Στεγανὸν δίκτυον, ὡς μήτε μέγαν,
Μήτ' ἄρ νεαρῶν τιν' ὑπερτελέσαι
Μέγα δυτείας
Γάγγαμον, ἄτης παναλώτου.
Δία τοι ξένιον μέγαν αἰδοῦμαι
Τὸν τάδε πράξαντ' ἐπ' Αλεξάνδρῳ,
Τεινοντα πάλαι τόξον, ὅπως ἄν
Μήτε πρὸ καιροῦ, μήθ' ὑπὲρ ἄστρων
Βέλος ἠλίθιον ζκήψειεν.

Επωδικά. Στροφὴ ά.

Διὸς πλαγὰν ἔχω σ' εἰπεῖν,
Πάρεστι τοῦτό γ' ἐξιχνεῦσαι
Ως ἔπραξεν, ὡς ἔκρανεν.
Οὐκ ἔφα τις θεὸς βροτῶν
Αξιοῦσθαι μέλειν
Οσοις ἀθίκτων χάρις

Παλοιῶ·

Παλοῖϐ' ὁ δ' ὐκ ἀσιϐής.
Πέφαν' δ' ἐγόνυς
Ατολμήτων Αρη πτιόγλων
Μεῖζον ἢ δικαίως,
Φλεόγλων δωμάτων ὑπέρφλ,
Υπὲρ τὸ βέλτιστον. ἔσω δ' ἀπή-
μαγλον, ὥστε κ' ἀπαρκεῖν
Εὖ πραπίδων λαχόγλα.
Οὐ γὰ ἐστιν ἔπαλξις
Πλούτυ πρὸς κόρον ἀνδρὶ
Λακλίσαγλι μεγάλα δίκας
Βωμὸν, εἰς ἀφάνειαν.

Αγλιστροφὴ ά.

Βιᾶται δ' ἀ τάλαινα πειθὼ,
Προβυλόπαγς ἄφερλος, ἄτας.
Αχος δὲ παμμάταγον
Ουκ ἐκρύφθη· πρέπγ δὲ φῶς,
Αἰνολαμπὲς σίνος.
Κακῦ δὲ χαλκῦ τρόπον,
Τρίβῳ τι γὰ πεβολαῖς
Μελαμπαγὴς, πέλγ
Δικαγωθεὶς, ἐπεὶ
Διώκγ παῖς πλανὸν ὄργιν,
Πόλγ πρόσριμμ' ἄφερλον ἐνθείς.
Λιτᾶν δ' ἀκύει μὲν ὕτις θεῶν·
Τὸν δ' ἐπίστροφον τῶνδε
Φῶτ' ἄδικον καθαρεῖ.
Οἷος γὰ Πάρις, ἐλθὼν
Ες δόμον τὸν Ατρειδᾶν,
Ηχυτε ξενίαν τράπε-
ζαν κλοπαῖς γυναικός.

Στροφὴ

Στροφὴ β'.

Λιπῦσα δ' ἀγοῖσιν ἀπίτορας
Κλόνυς λοξίμυς τε ἠ
Ναυβάτας ὁπλισμὺς,
Αγυσά τ' ἀγλίφεγγον
Ιλίῳ φθοράν,
Βέβακεν ῥίμφα διὰ πυλᾶν,
Ατλήτα τλᾶσα· πολὺ δ' ἔτεγον
Τόδ' ἐντέπουλες δόμων πεφῆται.
Ιὼ, ἰὼ δῶμα, δῶμα ἠ πρόμοι!
Ιὼ λέχος ἠ τίβοι φιλάνορες! 420
Πάρεισι ζυγᾶσ', ἄτιμος, ἀλοίδορος,
Αδίτος, ἀφεμβών, ἰδεῖν.
Πόθῳ δ' ὑπὲρ πουλίας
Φάσμα δόξει δόμων ἀνάσσειν.
Εὐμόρφων γὰ κολοσσῶν
Εχθεῖ χάρις ταὐδρί.
Ομμάτων δ' ἐν ἀχηνίαις
Ερρῖ πᾶσ' Αφροδίτα.

Αντιστροφὴ β'.

Ονειρόφαντοι δὲ πενθήμονες
Πάρεισι δόξαι φέρυ- 430
ζαι χάριν ματαίαν.
Μάταν γὰ εὖτ' ἂν
Εὐδρά τις δοκῶν ὁρᾶν,
Παραλλάξασα διὰ χερῶν,
Βέβακεν ὄψις ὐ μεθύστερον
Πτεροῖς ὀπαδοῖς ὕπνυ κελάθοις.
Τὰ μὲν κατ' οἴκυς ἐφ' ἑσίας ἄχη
Τάδ' ἐσὶ, ἠ τῶνδ' ὑπερβαλώτερα.
Τὸ πᾶν δ' ἀφ' Ελλάδος ἄγας ζυνορμήοις

Πέν-

Πένθεια τλησικάρδιος
Δόμων ἑκάστῳ πρέπει.
Πολλὰ γῶν Διΐγάντι πρὸς ἤπαρ·
Οὓς μὲν γὰ ἔπεμψεν οἶδεν·
Ἀντὶ δὲ φωτῶν τάχη
Καὶ σποδὸς εἰς ἑκάστους
Δόμους εἰσαφικνεῖται.

Στροφὴ γ'.

Ὁ χρυσαμοιβὸς δ' Ἄρης ζωμάτων,
Καὶ ταλαντοῦχος ἐν μάχῃ δορὸς,
Πυρωθὲν ἐξ Ἰλίου
Φίλοισι πέμπει βαρὺ
Ψῆγμα δυσδάκρυτον
Ἀντήνορος σποδοῦ
Γεμίζων τὺς λέβητας ἀθέτους.
Στένουσι δ' εὖ λέγουσιν ἄνδρα,
Τὸν μὲν, ὡς μάχης ἴδρις·
Τὸν δ', ἐν φωναῖς καλῶς πεσόντ' ἀλ-
λοτρίας διὰ γυναικός.
Τάδε σῖγά τις βαΰζει.
Φθονερὸν δ' ὑπ' ἄλγος ἕρπει
Προδίκοισιν Ἀτρείδαις.
Οἱ δ' αὐτοῦ περὶ τεῖχος
Θήκας Ἰλιάδος γᾶς
Εὔμορφοι κατέχουσιν·
Ἐχθρὰ δ' ἔχουσας ἔκρυψεν.

Ἀντιστροφὴ γ'.

Βαρεῖα δ' ἀσῶν φάτις σὺν κότῳ.
Δημοκράτου δ' ἀρᾶς τίνει χρέος.
Μένει δ' ἀκοῦσαί τι μοῦ
Μέριμνα νυκτιφρενές.

" Τῶν πολυκλόνων γὰ
" Οὐκ ἄσκοποι θεοί.
" Κελαιναὶ δ' ὖν ἐριννύες χρόνῳ
" Τυχηρὸν ὄντ' ἄνδ. δίκας
" Παλιλλυχῆ τριβᾷ βίᾳ
" Τιθεῖσ' ἀμαυρὸν, ἐν δ' αἴτοις
" Τελέθουσος ὕτις ἀλκά.
" Τὸ δ' ὑπερκότως κλύειν εὖ,
" Βαρύ· βάλλει γὰ ὅσσοις
" Διόθεν κεραυνός.
Κρίνω δ' ἄφθονον ὄλβον.
Μήτ' εἴην πολιπόρθης,
Μήτ' ὢν αὐτὸς ἁλὼς
Ὑπ' ἄλλων βίον κατίδοιμι.

Επῳδός.

Πυρὸς δ' ὑπ' ἀλαγέλᾳ τὴν πόλιν
Δικὴ θοὰ βάξις·
Εἰ δ' ἐτήλυμος,
Τίς οἶδεν; ἤτοι θεῖόν ἐσι μὴ ψύθος.
Τίς ὧδε παιδνὸς, ἢ φρενῶν κεκομμένος,
Φλογὸς παραγέλμασι
Νέοις πυρωθέντα καρδίαν,
Επειτ' ἀλλαγᾷ λόγυς
Καμεῖν; ἐν γυναικὸς αἰχμᾷ,
Πρέπει, πρὸ τᾶ φανέντος
Χάριν ξυναγέσαι.
Πιθανὸς ἄγαν ὁ θῆλυς ὅρος
Επινέμει ταχύπορος.
Αλλὰ ταχύμορον
Γυναικοκήρυκτον ὄλλυ κλέος.

Ιαμβοι.

Ιαμβοι.

ΚΛ. Τάχ' εἰσόμεσθα λαμπάδων φαεσφόρων
Φρυκ]ωριῶν τε ἡ πυρὸς παραλλαγὰς,
Εἴτ' ἦν ἀληθεῖς, εἴτ', ὀνειράτων δίκην,
Τερπνὸν τόδ' ἐλθὸν φῶς ἐφήλωσε φρένας.
Κήρυκ' ἀπ' ἀκ]ῆς τόνδ' ὁρῶ καλάσκιον
Κλάδοις ἐλαίας· μαρ]υρεῖ δέ μοι κασις
Πηλῦ ξύνυρος δι]ία κόνις τάδε,
Ὡς ὕτ' ἄναυδος, ὕτε]οι δαίων φλόγα
Ὕλης ὀρείας]ημανεῖ καπνῷ πυρός.
Αλλ' ἢ τὸ χαίρειν μᾶλλον ἐκβάξει λέγων.
Τὸν ἀντίον δὲ τοῖσδ' ἀποστέργω λόγον·
Εὖ γὰ πρὸς εὖ φανεῖσι πεφαδήκη πέλοι.

ΧΟ. Οσις τάδ' ἄλλως τῆδ' ἐπ]χεῖ πόλι, 510
Αὐτὸς φρενῶν καρποῖτο τὴν ἁμαρτίαν.

ΚΗ. Ιὼ πα]ρῷον ὕδας Αργείας χθονός!
Δεκάτῳ]ε φέγ]ει τῷδ' ἀφικόμην ἔτυς,
Πολλῶν ραγεισῶν ἐλπίδων, μιᾶς τυχών.
Οὐ γὰ ποτ' ἤυχυν τῆδ' ἐν Αργείᾳ χθονὶ
Θανὼν μεθέξειν φιλτάτυ τάφυ μέρος.
Νῦν χαῖρε μὲν χθὼν, χαῖρε δ' ἡλίυ φάος,
Υπατός τε χώρας Ζ]ς, ὁ Πύθιός τ' ἄναξ,
Τόξοις ἰάπλων μηκετ' εἰς ἡμᾶς βέλη.
Αλις παρὰ Σκάμανδρον ἦλθες ἀνάρσιος· 520
Νῦν δ' αὖτε]ωτὴρ ἴσθι καὶ παγώνιος,
Αναξ Απολλον. τύς τ' ἀγωνίυς θεὺς
Πάλλας πεσαυδῶ, τόν τ' ἐμὸν τιμάορον
Ερμῆν φίλον κήρυκα, κηρύκων σέβας,
Ηρως τε τὺς πέμψαλλας, ἁμφεῖς πάλιν
Στρατὸν δέχεσθαι τὸν λελειμμένον δορός.
Ιὼ μέλαθρα βασιλέων, φίλαι σέγαι,

Σεμναὶ

Σεμνοί τε θᾶκοι, δαίμονές τ' ἀγλήλιοι!
Η πω πάλαι, φαιδροῖσι τοῖσιδ' ὄμμασι
Δέξασθε κόσμῳ βασιλέα πολλῷ χρόνῳ.
Ηκει γὰ ὑμῖν φῶς ἐν ἀφρόκῃ φέρων
Καὶ τοῖς δ' ἅπασι κοινὸν Ἀγαμέμνων ἄναξ.
Αλλ' εὖ νιν ἀσπάσασθε (χὴ γὰ ἔν πρέπει,)
Τροίαν καλασκάψαντα τῷ δικηφόρῳ
Διὸς μακέλλῃ, τῇ καλειρξασαν πέδον.
Βωμοὶ δ' ἄϊστοι χὴ θεῶν ἱδρύματα,
Καὶ σπέρμα πάσης ἐξαπόλλυ) χθονός.
Τοιόνδε Τροίᾳ περιβαλὼν ζυγὸν πίριον
Αναξ Ατρείδης πρέσβυς ἀδαίμων ἀνὴρ
Ηκει, τίεσθαι δ' ἀξιώτατος βροτῶν
Τῶν νῦν· Πάρις γὰ ὔτε ζυγαλὴς πόλις
Εξάχε) τὸ δρᾶμα τῷ πάθει πλέον.
Οφλων γὰ ἁρπαγῆς τε χὴ κλοπῆς δίκην,
Τῷ ῥυσίῳ δ' ἥμαρτε, χὴ πανώλεθρον
Αὐτόχθονον πατρῷον ἔθρισεν δόμον.
Διπλᾶ δ' ἔτισαν Πριαμίδαι δάμαρτια.

ΚΛ. Κήρυξ Αχαιῶν χαῖρε πᾶν ἀπὸ στρατοῦ.
ΚΗ. Χαίρω· τεθνᾶναι δ' οὐκ ἔτ' ἀντερῶ θεοῖς.
ΚΛ. Ερως πατρῴας τῆσδε γῆς σ' ἐγύμνασεν;
ΚΗ. Ως ἐνδακρύειν γ' ὄμμασιν χαρᾶς ὕπο.
ΚΛ. Τερπνῆς ἄρ' ἦτε τῆσδ' ἐπήβολοι νόσου;
ΚΗ. Πῶς δὴ διδαχθεὶς τῶνδε δεσπόσω λόγω;
ΚΛ. Τῶν ἀντερώντων ἱμέρῳ πεπλησμένος.
ΚΗ. Ποθεῖν σοθοῦντα τήνδε γῆν στρατὸν λέγεις.
ΚΛ. Ως πόλλ' ἀμαυρᾶς ἐκ φρενὸς ἀνασέσειν.
ΚΗ. Πόθεν τὸ δύσφορον τοῦτ' ἐπῆν σύγος στρατῷ;
ΚΛ. Πάλαι τὸ σιγᾶν φάρμακον βλάβης ἔχω.
ΚΗ. Καὶ πῶς ἀπόντων τυράννων ἔτρεις τινάς;

ΚΛ.

ΚΛ. Ων νῦν τὸ σὸν δὴ, κ᾽ θανεῖν πολλὴ χάρις.
ΚΗ. Εὖ γ᾽ εἶπας). ταῦτα δ᾽ ἐν πολλῷ χρόνῳ
Τὰ μέν τις εὖ λέξειεν ἀπειτῶς ἔχειν,
" Ταὐτ᾽ αὖτε κἀπίμομφα. τίς δὲ πλὴν θεῶν
" Απαντ᾽ ἀπήμων τὸν δι᾽ αἰῶνος χρόνον;
Μόχθους γ᾽ εἰ λέγοιμι κ᾽ δυσαυλίας,
Σπαρνὰς παρήξεις κ᾽ κακοστρώτους, τί δ᾽ ὐ
Στένοντες, ὑ λαχόντες ἥμαλος μέρος;
Τὰ δ᾽ αὖτε χέρσῳ κ᾽ πεσσῆν, πλέον ςύγος·
Εὐναὶ γ᾽ ἦσαν δηΐων πρὸς τείχεσιν·
Ἐξ ὐρανῦ γ᾽ κἀπὸ γῆς λειμωνίας
Δρόσοι καλεψέκαζον, ἔμπεδον σίνος
Εσθημάτων τιθέντες ἕνθηρον τρίχα.
Χειμῶνα δ᾽ εἰ λέγοι τις οἰνοκλόνον,
Οἷον παρεῖχ᾽ ἄφερτον Ιδαῖα χιὼν,
Η Θάλπος, εὖτε πόντος ἐν μεσημβριναῖς
Κοίταις ἀκύμων νηνέμοις εὕδοι πεσὼν,
Τί ταῦτα πενθεῖν δεῖ; παροίχε) πόνος·
Παροίχε) δὲ, τοῖσι μὲν τεθνηκόσιν,
Τὸ μήποτ᾽ αὖθις μηδ᾽ ἀνασῆναι μέλειν.
Τί τὰς ἁναλωθέντας ἐν ψήφῳ λέγειν,
Τὸν ζῶντα δ᾽ ἀλγεῖν χρὴ τύχης παλιγκότυ;
Καὶ πολλὰ χαίρειν ξυμφοραῖς καλαξιῶ.
Ημῖν δὲ τοῖς λοιποῖσιν Αργείων ςρατῦ
Νικᾷ τὸ κέρδος, πῆμα δ᾽ ὐκ ἀνλιῤῥέπει.
Ως κομπάσαι τῷ δ᾽ εἰκὸς ἡλίυ φάει,
Υπὲρ θαλάσσης κ᾽ χθονὸς πολωμένοις.
Τροίην ἑλόντες δήποτ᾽ Αργείων ςόλος,
Θεοῖς λάφυρα ταῦτα τοῖς καθ᾽ Ελλάδα
Δόμοις ἐπασάλδσαν ἀρχαῖον γάνος.
Τοιαῦτα χρὴ κλύοντας, ἀλογεῖν πόλιν,

Καὶ τὰς στραληγὰς· ἢ χάρις τιμήσει)
Διὸς τά δ' ἐκπράξασα. φάντ' ἔχεις λόγον.
ΧΟ. Νικώμμυος λόγοισιν οὐκ ἀναίνομαι.
Αεὶ γὰρ ἡβᾷ τοῖς γέρουσιν εὖ μαθεῖν.
Δόμοις δὲ ταῦτα κἀ Κλυταιμνήστρᾳ μέλειν
Εἰκὸς μάλιστα, σὺν δὲ πλείζειν ἐμέ.
ΚΛ. Ανωλόλυξα μὲν πάλαι χαρᾶς ὕπο,
Οτ' ἦλθ' ὁ πρῶτος νύχιος ἄγγελος πυρὸς,
Φράζων ἅλωσιν Ιλίου τ' ἀνάστασιν.
Καί τις μ' ἐνίπλων εἶπε, φρυκτώρων διὰ
Πειθὼ θεῖσα, Τροίαν νῦν πεπορθῆσθαι δοκεῖς; 600
Η κάρτα πρὸς γυναικὸς, ἄρρεσθαι κέαρ.
Λόγοις τοιούτοις πλαγκτὸς ὢν ἐφαιδρύμην.
Ομως δ' ἔθυον· καὶ γυναικείῳ κόμπῳ
Ολολυγμὸν ἄλλος ἄλλοθεν καλὰ πόλιν
Ελασκον, ἀφημῶνλες ἐνθέων ἕδρας.
Θυηφάγον κοιμῶνλες ἀώδη φλόγα.
Καὶ νῦν τὰ μάσσω μὲν τί δεῖ σ' ἐμοὶ λέγειν;
Ανακλος αὐτῆ πάντα πᾴσομαι λόγον.
Οπῶς δ' ἄρισα τὸν ἐμὸν αἰδοῖον πόσιν
Σπᾴσω πάλιν μολόντα δέξασθαι. τί γὰρ 610
Γυναικὶ τύτυ φέγγος ἥδιον, σφακεῖν
Απὸ σταλείας ἄνδρα, ζώσανλος θεῦ,
Πύλας ἀνοῖξαι; ταῦτ' ἀπάγγειλον πόσει·
Ηκειν ὅπως τάχις' ἐράσμιον πόλει·
Γυναῖκα πιστὴν δ' ἐν δόμοις εὑροι μολὼν
Οἵαν περ ἦν ἔλειπε, σωμάτων κύνα
Εσθλὴν ἐκείνῳ, πολεμίαν τοῖς δύσφροσιν,
Καὶ τἄλλ' ὁμοίαν πάντα, ζημανλήριον
Οὐδὲν διαφθείρασαν ἐν μήκει χρόνυ.
Οὐ δ' οἶδα τέρψιν, ἢδ' ἐπίφθογον φάτιν 620

Αλλυ

Αλλα πρὸς ἀνδρὸς μᾶλλον ἢ χαλκῦ βαφάς.
ΚΗ. Τοιόσδ' ὁ κόμπος τῆς ἀληθείας γέμων
Οὐκ αἰσχρὸς ὡς γυναικὶ γυναῖα κακεῖν.
ΧΟ. Αὕτη μὲν ὕτως εἶπε μανθάνοντί σοι
Τορσῖσιν ἑρμηνεῦσιν ἀπρεπῶς λόγον.
Σὺ δ' εἰπὲ, κήρυξ· Μενέλεων δὲ πεύθομαι,
Εἰ νόσιμός γε κῆ ξεσωσμένος πάλιν
Ἥξει σὺν ὑμῖν, τῆσδε γῆς φίλον κράτος.
ΚΗ. Οὐκ ἔσθ' ὅπως λέξαιμι τἀψευδῆ, καλὰ,
Ες τὸν πολὺν φίλοισι καρπώσασθαι χρόνον.
ΧΟ. Πῶς δῆτ' ἂν εἰπὼν κεδνὰ τἀληθῆ τύχης;
Σχιασθέντα δ' ὐκ εὔκρυπτα γίνεσθον τάδε.
ΚΗ. Ανὴρ ἄφαντος ἐξ Αχαϊκῆς στρατῆς,
Αὐτός τε κῆ τὸ σκεῖον. ὐ ψευδῆ λέγω.
ΧΟ. Πότερον ἀναχθεὶς ἐμφανῶς ἐξ Ιλίου,
Η χεῖμα κοινὸν ἄχθος ἥρπασε στρατῆ;
ΚΗ. Εκυρσας, ὥστε τοξότης ἄκρος, σκοπῶ·
Μακρὸν δὲ πῆμα συμφόρως ἐφημίσω.
ΧΟ. Πότερα δ' αὐτῆ ζῶντος, ἢ τεθνηκότος,
Φάτις πρὸς ἄλλων ναυτίλων ἐκπήξειε;
ΚΗ. Οὐκ οἶδεν ὐδεὶς ὥστ' ἀπαγγεῖλαι τορῶς,
Πλὴν τῆ τρέφοντος ἡλίου χθονὸς φύσιν.
ΧΟ. Πῶς δ' λέγεις χειμῶνα ναυτικῷ στρατῷ
Ελθεῖν, τελεσθῆσαί τε δαιμόνων κότῳ;
ΚΗ. Εὔφημον ἦμαρ ὐ πρέπει κακαγγέλῳ
Γλώσσῃ μιαίνειν· χωρὶς ἡ τιμὴ θεῶν.
Οταν δ' ἀπέλθὼ πῆματ' ἄγγελος πόλει
Στυγνῷ προσώπῳ πλησίμου στρατῆ φέρῃ,
Πόλει μὲν ἕλκος ἕν, τὸ δήμιον τυχεῖν·
Πολλοὺς δὲ πολλῶν ἐξαγιασθέντας δόμων
Ανδρας διπλῆ μάστιγι, τὴν Αρης φιλεῖ,

Δίλοχον

Δίλοχον ἄτην φοινίαν ξυνωρίδα.
Τοιῶνδε μὑτοι πημάτων ξεσαγμὡων,
Πρέπει λέγειν παγᾶνα τόνδ' ἐριννύων.
Σωτηρίων δὲ πραγμάτων ἀάγγελον
Ηκοντα πρὸς χάρυσαν Διὸς πόλιν,
Πῶς κεδνὰ τοῖς κακοῖσι ξυμμίξω, λέγων
Χειμῶν' Αχαιῶν ὐκ ἀμήνιτον θεοῖς;
Ξυνώμοσαν γὰ, ὅστις ἔχθιστοι τορὶν,
Πῦρ καὶ θάλασσα, καὶ τὰ πιστ' ἐδείξατην, 660
Φθείροντε τὸν δύστηνον Αργείων στρατόν.
Εννυχὶ δυσκ ὑμαντα δ' ὠρώρει κακά.
Ναῦς γὰ πρὸς ἀλλήλησι Θρηϊκιαι πνοαὶ
Ηρεικον· αἱ δὲ, κερωτυπύμεναι βίᾳ
Χειμῶνι, τυφῶ σὺν ζάλῃ τ' ὀμβροκλύπτῳ,
Ωχοντ' ἄφαντοι, ποιμένος κακῦ στρόβῳ.
Επεὶ δ' ἀνῆλθε λαμπρὸν ἡλίου φάος,
Ορῶμεν ἄνθη πέλαγος Αἰγαῖον νεκροῖς
Ανδρῶν Αχαιῶν, ναυτικῶν τ' ἐρειπίων.
Ημᾶς γε μὲν δὴ ναῦν τ' ἀκήρατον σκάφος, 670
Ητοι τις ἐξέκλεψεν, ἢ ξυτήσατο
Θεός τις, ὐκ ἄνθρωπος, οἴακος θιγών.
Τύχη δὲ σωτὴρ ναῦν θέλουσ' ἐφέζετο·
Ως μετ' ἐν ὅρμῳ κύματος ζάλην ἔχειν,
Μήτ' ἐξοκεῖλαι πρὸς κραταιλέων χθόνα.
Επειτα δ' ἄδην πόντιον πεφὐγότες,
Λάκτον κατ' ἦμαρ, ὑ πιποιθότες τύχῃ,
Εβυκολῦμεν φροντίσιν νέον πάθος
Στρατῦ καμόντος καὶ κακῶς πορθυμένου.
Καὶ νῦν ἐκείνων εἴτις ἐστὶν ἐμπνέων, 680
Λέγουσιν ἡμᾶς ὡς ὀλωλότας. τί μή;
Ημεῖς τ' ἐκείνους ταῦτ' ἔχειν δοξάζομεν.

Γένοιτο

Γένοιτο δ' ὡς ἄρισα. Μενέλεων γὰ ὖν
Πρῶτόν τε κἀ μάλισα θεσσδόκα μολεῖν.
Εἰ δ' ὖν τις ἀκλὶς ἠλίυ νιν ἰσορεῖ
Καὶ ζῶντα κἀ βλέποντα, μηχαναῖς διὸς,
Οὔπω θέλοντος ἐξαναλῶσαι γῆρος,
Ελπίς τις αὐτὸν θεὸς δόμυς ἥξειν πάλιν.
Τοσαῦτ' ἀκύσας, ἴωδι τἀληθῆ κλύων.

Αντιστροφικα. Στροφὴ ά.

ΧΟ. Τίς ποτ' ὠνόμαζεν ὧ-
δ' ἐς τὸ πᾶν ἐτητύμως, 690
(Μή τις, ὅντιν' ὐχ ὁρῶμεν,
Προνοίας τῷ πεπρωμένῳ
Γλῶσαν ἐν τύχᾳ νέμων;)
Τὰν δορίγαμβρον
Αμφινεικῆ θ' Ελέναν;
Επεὶ πρεπόντως
Ελένας, ἔλανδρος, ἐλέπτολις,
Εκ μὴ ἀβροτίμων
Προκαλυμμάτων ἔπλαδσεν 700
Ζεφύρυ γίγαντος αὔρᾳ.
Πολύανδροί τε φεράσπιδες,
Κυναγοὶ κατ' ἴχνος,
Πλάταν ἄφαντον
Κελσάντων Σιμόεντος ἀκλὰς
Επ' ἀξιφύλλυς
Δι' ἔριν αἱματόεσσαν.

Αντιστροφὴ ά.

Ιλίῳ δὲ κῆδος ὀρ-
θώνυμον τελεσίφρων
Μῆνις ἔλασε, τραπέζας ἀτίμως 710
Ιν' ὑστέρῳ χρόνῳ

Καὶ ξυνεσίν Διὸς
Πρασσομένα τὸ
Νυμφότιμον μέλος ἐκ-
φάτως τίουσας
Ὑμέναιον, ὃς τότ' ἐπέρρεπεν
Γαμβροῖσιν ἀείδειν.
Μέλαμανθάνουσα δ' ὕμνον
Πριάμου πόλις γεραιὰ,
Πολύθρηνον μέγα σὺν τέκνοις, 720
Κικλήσκουσα Πάριν
Τὸν ἀνόλεκρον,
Παμπρόσθη πολύθρηνον αἰῶ-
νὰ ἀμφὶ πολίταν,
Μέλεον αἷμ', ἀνατλᾶσα.

Στροφὴ β'.

Εθρεψεν δὲ λέοντα
Σίνιν δόμοις ἀγάλακτον
Οὗτος ἀνὴρ φιλόμαστον,
Ἐν βιότου παρελείοις
Ἄμερον, ἁφιλόπαιδα, 730
Καὶ γεραροῖς ἐπίχαρτον.
Πολέα δ' ἔχ' ἐν ἀγκάλαις,
Νεοτρόφου τέκνου δίκαν,
Φαιδρωπὸς ποτὶ χεῖρα, σαί-
νων τε γαστρὸς ἀνάγκας.

Ἀντιστροφὴ β'.

Χρονισθεὶς δ' ἀπέδειξεν
Ἔθος τὸ πρὸς τοκήων.
Χάριν γὰρ τροφᾶς ἀμείβων,
Μηλοφόνοισιν ἄταισιν
Δαΐτ' ἀκέλευστος ἔτευξεν. 740

Αἵμαλι

Αἵμαλι δ' οἶκος ἐφύρθη·
Αμαχον δ' ἄλγος οἰκέταις
Μέγα σίνος πολύκλονον.
Εκ θεῦ δ' ἱερᾶς τις ἄ-
τας δόμοις πεσσιράφη.

Στροφὴ γ'.

Παραυτὰ δ' ὧν ἐλθεῖν
Ες Ιλίν πόλιν
Λέγοιμ' ἄν, φρόνημα μὲν
Νηέμν γαλάνας, ἀκασκᾶον
Αγαλμα πλύτν,
Μαλθακὸν ὀμμάτων βέλος,
Δηξίθυμον ἔρωλος ἄνθος,
Παρακλίνασ'. ἐπέκρανεν δὲ
Γάμν πικρὰς τελάτας,
Δύσεδρος ἁ δυσόμιλος,
Συμφὰ Πριαμίδαισι,
Πομπᾷ Διὸς ξενίν,
Νυμφόκλαυλος ἐριννύς.

Αντιστροφὴ γ'.

Παλαίφαλος δ' ἐν τοῖς
Βρολοῖς γέρων λόγος
Τέτυκ), μέγαν τελε-
σθέντα φωτὸς ὄλβον, τεκνῦσθαι,
Μηδ' ἄπαιδα θνήσκειν·
Εκ δ' ἀγαθᾶς τύχας γλῶες
Βλασάνειν ἀκόρεσον οἴζύν.
Δίχα δ' ἄλλων μονόφρων εἰμί.
" Τὸ γὰ δυστιβὲς ἔργον
" Μελᾶ μὲν πλείονα τίκλει,
" Σφετέρᾳ δ' εἰκότα γλίνᾳ.

" Οἴκων

" Οἴκων γὼ ἀθυδίκων
" Καλλίπαις πότμος αἰεί.

Στροφὴ δ'.

Φιλεῖ δὲ τίκτειν ὕβρις
Μὲν παλαιὰ νεά-
ζουσαν ἐν κακοῖς βροτῶν
Ὕβριν, τότ' ἢ τόθ', ὅταν
Τὸ κύριον μόλῃ.
Νεαρὰ φάνις κότου
Δαίμονά τε τὸν ἄμαχον, ἀπόλεμον,
Ἀνίερον θράσος,
Μελαίνας μελάθροισιν ἄτας,
Εἰδομέναν τοκεῦσιν.

Ἀντιστροφὴ δ'.

Δίκα δὲ λάμπει μὲν ἐν
Δυσκάπνοις δώμασι,
Τὸν δ' ἐναίσιμον τίει
Βίον. τὰ χρυσόπαστα δ' ἐ-
θελὰ ξὺν πίνῳ χερῶν
Παλιντρόποις ὄμμασι λι-
ποῦσ', ὅσια πρεσβεύα, τᾷ
Δύναμιν ὐ σέβι-
ζα πλούτῳ παράσημον αἴνῳ·
Πᾶν δ' ἐπὶ τέρμα νωμᾷ.

Ἀναπαιστοί.

Ἄγε δὴ, βασιλεῦ, Τροίας πολίπορ-
θ', Ἀτρέως γλύεθλον,
Πῶς σε προσείπω; πῶς σε ξεβίζω,
Μήθ' ὑπεράρας, μήθ' ὑποκάμψας
Καιρὸν χάριτος;
Πολλοὶ δὲ βροτῶν τὸ δοκεῖν εἶναι

Προτί-

Προτίνσι, δίκην παραβάλλες.
Τῷ δυσπραγοῦντι δ' ἐπιτιναχεῖν
Πᾶς τις ἕτοιμος· δῆγμα δὲ λύπης
Οὐδὲν ἐφ' ἵππαρ πεσσικεῖται·
Καὶ ξυγχαίρουσιν ὁμοιοπρεπεῖς
Ἀγέλασα πεύσωπα βιαζόμμοι.
Οσις δ' ἀγαθὸς πεβαλογνώμων,
Οὐκ ἔστι λαθεῖν ὄμμαλα φωτὸς,
Τὰ δοκοῦντ' εὔφρονος ἐκ διανοίας
Υδαρεῖ ζαίνειν φιλότητι.
Σὺ δέ μοι τότε μὲν στέλλων στρατιὰν
Ελένης ἕνεκ' (ἐ γὰρ ἐπικλάσω)
Κάρτ' ἀπομύσως ἦσθα γεγραμμένος·
Οὐδ' εὖ παπίδων οἴακα νέμων,
Θράσος ἐκύσιον
Αἰδράσι θνήσκουσι κομίζων.
Νῦν δ' ὑκ ἀπ' ἄκρας φρενὸς, οὐδ' ἀφίλως
Εὔφρων τὶς πόνος εὖ τελέσασιν.
Γνώσῃ δὲ χρόνῳ διαπαθόμμενος
Τόν τε δικαίως ἢ τὸν ἀκαίρως
Πόλιν οἰκυρῦσθαι πολιτῶν.

Iambοι.

ΑΓ. Πρῶτον μὲν Αρζος ἢ Θεὺς ἐζχορίνς
Δίκη πεσσειπεῖν, τὺς ἐμοὶ μεζαιτίνς
Νόσν, δικαίων δ' ὧν ἐπραξάμην πόλιν
Πριάμν. δίκας γὰ ὑκ ἀπὸ γλώσσης θεοὶ
Κλύονζες, ἀνδροθνῆτας Ιλίν φθορὰς
Ες αἰμαληρὸν τεῦχος ὑ διχορρόπως
Ψήφνς ἔθεντο· τῷ δ' ἐναντίῳ κύτει
Ελπὶς πεσσεῖ χειρὸς ὑ πληρνμένν.
Καπνῷ δ' ἁλῶσα νῦν ἔτ' εὔσημος πόλις.

Ατης θύελλαι ζῶσι· ξυνθήσκουσα δὲ
Σποδὸς προπέμπει πίονας πλούτου πνοάς.
Τούτων θεοῖσι χρὴ πολύμνηστον χάριν
Τίειν· ἐπείπερ ἢ πάγας ὑπερκότους
Επραξάμεθα, ἢ γυναικὸς ὕπερθ᾽ ἑνὸς
Πόλιν δικηλάτου Αργεῖον δάκος,
Ιππου νεοσσὸς, ἀσπιδηφόρος λεώς,
Πήδημ᾽ ὀρούσας ἀμφὶ Πλειάδων δύσιν·
Υπερθορὼν δὲ πύργον ὠμηστὴς λέων,
Αδην ἔλειξεν αἵματος τυραννικοῦ.
Θεοῖς μὲν ἐξέτεινα φραίμιον τόδε·
Τὰ δ᾽ ἐς τὸ σὸν φρόνημα μέμνημαι κλύων.
Καὶ φημὶ ταῦτα, ἢ ξυνήγορόν μ᾽ ἔχεις.
" Παύροις γὰρ ἀνδρῶν ἐστι ξυγγενὲς τόδε,
" Φίλον τὸν ἀτυχοῦντ᾽ ἄνδ᾽ ἄφθονα σέβειν.
" Δύσφρων γὰρ ἰὸς καρδίαν προσήμενος,
" Αχθος διπλοίζει τῷ πεπαμμένῳ νόσον·
" Τοῖς τ᾽ αὐτὸς αὐτοῦ πήμασιν βαρύνεται,
" Καὶ τὸν θυραῖον ὄλβον εἰσορῶν, στένει.
Εἰδὼς λέγοιμ᾽ ἄν· εὖ γὰρ ἐξεπίσαμαι
Ομιλίας κάτοπτρον, εἴδολον ξκιᾶς
Δοκοῦντας εἶναι κάρτα πρόμμοιρις ἐμοί.
Μόνος δ᾽ Οδυσσεὺς, ὅσπερ οὐκ ἐκὼν ἔπλει,
Ζυγθεὶς ἕτοιμος ἦν ἐμοὶ ξειρασφόρος·
Εἴτ᾽ οὖν θανόντος, εἴτε καὶ ζῶντος πέρι
Λέγω. τὰ δ᾽ ἄλλα, θεοὺς πόλιν τε καὶ θεοὺς
Κοινοὺς ἀγῶνας θέντες ἐν παναγύρει,
Βυλεύσομεθα. καὶ τὸ μὲν καλῶς ἔχον,
Οπως χρονίζον εὖ μενεῖ, βυλευτέον.
Οτῳ δὲ καὶ δεῖ φαρμάκων παγωνίων,
Ητοι κέαντες, ἢ τεμόντες ἀφρόνως,

Πειρα-

Πειρασόμεσθα πήμαλος τρέψαι νόσον.
Νῦν δ' ἐς μέλαθρα καὶ δόμους ἐφιείμεν 860
Ἐλθὼν, θεοῖσι πρῶτα δεξιώσομαι,
Οἵπερ πρόσω πέμψαντες, ἤγαγον πάλιν.
Νίκη δ' ἑπείπερ ἕσπετ', ἐμπέδως μένοι.

ΚΛ. Ἀνδρες πολῖται, πρέσβος Ἀργείων τόδε,
Οὐκ αἰσχυνοῦμαι τοὺς φιλάνορας τρόπους
" Λέξαι πρὸς ὑμᾶς· ἐν χρόνῳ δ' ἀποφθίνει
" Τὸ τάρβος ἀνθρώποισιν. οὐκ ἄλλων πάρα
Μαθοῦσ', ἐμαυτῆς δύσφορον λέξω βίον.
Τοσόνδ' ὅσονπερ ἦτος ἦν ὑπ' Ἰλίῳ,
Τὸ μὲν γυναῖκα πρῶτον ἄρσενος δίχα 870
Ἡδαῖ δόμοις ἔρημον, ἔκπαγλον κακὸν,
Πολλὰς κλύουσαν ἡδονὰς παλιγκότους·
Καὶ τὸν μὲν, ἧκειν, τὸν δ' ἐπεισφέρειν κακοῦ
Κάκιον ἄλλο πῆμα, λάσκοπας δόμοις.
Καὶ τραυμάτων μὲν εἰ τόσων ἐτύγχανεν
Ἀνὴρ ὅδ', ὡς πρὸς οἶκον ὠχετεύετο
Φάτις, τέτρωμαι δικλύδην πλέω λέγειν.
Εἰ δ' ἦν τεθνηκὼς, ὡς ἐπλήθυνον λόγοι,
Τρισώματός τ' ἂν Γηρυὼν ὁ δεύτερος
Πολλὴν ἄνωθεν (τὴν κάτω γὰρ οὐ λέγω 880
Χθονὸς) τρίμοιρον χλαῖναν ἐξηύχει λαβὼν,
Ἀπαξ ἑκάστῳ κατθανὼν μορφώματι.
Τοιῶνδ' ἕκατι κληδόνων παλιγκότων,
Πολλὰς ἄνωθεν ἀρτάνας ἐμῆς δέρης
Ἐλυσαν ἄλλοι πρὸς βίαν λελημμένης.
Ἐκ τῶνδέ τοι σοῦ ἐνθάδ' οὐ παραστατεῖ,
Ἐμοῦ τε κἀσῶν κύριος πισθμάτων,
Ὡς χρῆν, Ὀρέστης. μηδὲ θαυμάσῃς τόδε·
Τρέφει γὰρ αὐτὸν ἀμβὼν δορύξενος

Στρόφιος

Στρόφιος ὁ Φωκεὺς, ἀμφίλεκτα πήματα
Ἐμοὶ σεσφωτῶν, τόνδ' ὑπ' Ἰλίῳ σέθεν
Κίνδυνον· εἴτε δημόθρους ἀναρχία
Βυλὴν καταρρίψειεν, ὡσεὶ ζύγιον
Βροτοῖσι, τὸν πεσόντα λακτίσαι πλέον.
Τοιάδε μήτοι ζῆψις ὑ δόλον φέρῃ.
Ἐμοιγε μὲν δὴ κλαυμάτων ἐπίσυλοι
Πηγαὶ καλισθήκασιν, οὐδ' ἔτι ῥαγών.
Ἐν ὀψικοίτοις δ' ὄμμασιν βλάβας ἔχω,
Τὰς ἀμφί σοι κλαίουσα λαμπηρυχίας
Ἀτημελήτους αἰέν. ἐν δ' ὀνείρασιν,
Λεπταῖς ὑπαὶ κώνωπος ἐξηγειρόμην
Ῥιπαῖσι θωΰσσοντος, ἀμφί σοι πάθη
Ὁρῶσα πλείω τῆ ξυνᾳδόντος χρόνου.
Νῦν ταῦτα πάντα πλὰξ ἀπειθήτῳ φρενὶ,
Λέγοιμ' ἂν ἄνδρα τόνδε, τῷ σαθμῷ κύνα,
Σωτῆρα ναὸς, πρότονον ὑψηλῆς στέγης,
Στύλον τοδύρη, μονογλὴς τέκνον πατρὶ,
Καὶ γῆν φανεῖσαν ναυτίλοις παρ' ἐλπίδα,
Κάλλιστον ἦμαρ εἰσιδεῖν ἐκ χείματος,
Ὁδοιπόρῳ διψῶντι πηγαῖον ῥέος.
Τερπνὸν δὲ τἀναγκαῖον ἐκφυγεῖν ἅπαν.
Τοιοῖσδε τοίνυν ἄξιῶ σεσφθέγματα.
Φθόνος δ' ἀπέστω· πολλὰ γὰρ τὰ πρὶν κακὰ
Ηνειχόμεσθα· νῦν δ' ἐμοὶ, φίλον κάρα,
Ἐκβαὶν' ἀπήνης τῆσδε, μὴ χαμαὶ τιθεὶς
Τὸν σὸν πόδ', ἄναξ, Ἰλίου πορθήτορα.
Δμωαὶ, τί μέλλεθ', αἷς ἐπέσταλ') τέλος
Πέδον κελεύθου στρωτύναι πελασμάσιν;
Εὐθὺς ῥοδόεσσα πορφυρόστρωτος πόρος
Ἐς δῶμ' ἄελπτον ὡς ἂν ἡγῆται δίκη.

Τὰ

Τὰ δ' ἄλλα φρονῶ οὐχ ὕπτιος νικωμένου
Θήσω δικαίως σὺν θεοῖς εἰμαρμένα.
ΑΓ. Λήδας γὰρ ἦθλον, δωμάτων ἐμῶν φύλαξ,
Ἀπουσίᾳ μὲν εἶπας εἰκότως ἐμῇ·
Μακρὰν γὰρ ἐξέτεινας. ἀλλ' ἐπασίμως
Αἰνεῖν, παρ' ἄλλων χρὴ τόδ' ἔρχεσθαι γέρας.
Καὶ τἄλλα μὴ γυναικὸς ἐν τρόποις ἐμὲ
Ἄβρυνε, μηδὲ, βαρβάρου φωτὸς δίκην,
Χαμαιπετεῖς βόαμα προσχάνῃς ἐμοὶ,
Μηδ' εἵμασι τρώσασ' ἐπίφθονον τύρον
" Τίθει. θεούς τοι τοῖσδε τιμαλφεῖν χρεών·
" Ἐν ποικίλοις δὲ θηκτὸν ὄγλα κάλλεσιν
" Βαίνειν, ἐμοὶ μὲν ὐδαμῶς ἄνδρὶ φόβος.
Λέγω κατ' ἄνδρα μὴ θεὸν σέβειν ἐμέ.
Χωρὶς ποδοψήστρων τε καὶ σὺν ποικίλων
" Κληδὼν ἄϋτει· καὶ τὸ μὴ κακῶς φρονεῖν,
" Θεῦ μέγιστον δῶρον. ὀλβίσαι δὲ χρὴ
" βίον τελεύτησαντ' ἐν δόμοισι φίλῃ.
Εἰ πάντα δ' ὧς πράσσοιμ' ἄν, θαρσῶν ἐγώ.
ΚΛ. Καὶ μὴν τόδ' εἶπὲ μὴ παρὰ γνώμην ἐμοί.
ΑΓ. Γνώμην μὲν ἴσθι μὴ διαφθερεῖν τ' ἐμέ.
ΚΛ. Ἤθελ' θεοῖς δείσας ἄν ὧδ' ἔρδειν τάδε;
ΑΓ. Εἴπερ τις, εἰδὼς γ' εὖ τόδ' ἐξεῖπον τέλος.
ΚΛ. Τί δ' ἄν δοκῇ σοι Πρίαμος εἰ τάδ' ἤνυσεν;
ΑΓ. Ἐν ποικίλοις ἂν κάρτα μοι βαίνων δοκῇ.
ΚΛ. Μή νυν τὸν ἀνθρώπειον αἰδεσθεὶς ψόγον.
ΑΓ. " Φήμη γε μέντοι δημόθρους μέγα σθένει.
ΚΛ. Ὁ δ' ἀφθόνητος γ' οὐκ ἐπίζηλος πέλει.
ΑΓ. Οὔτοι γυναικὸς ἐστιν ἰμείρειν μάχης.
ΚΛ. Τοῖς δ' ὀλβίοις γε καὶ τὸ νικᾶσθαι πρέπει.
ΑΓ. Ἦ καὶ σὺ νίκην τήνδε δήριος τίεις;

ΚΛ. Πιθῦ· κράτος μὴν τοι πάρες γ' ἐκὼν ἐμοί.
ΑΓ. Αλλ' εἰ δοκεῖ σοι ταῦθ', ὑπαί τις ἀρβύλας
Λύοι τάχος ποδοῖν ἔμβασιν ποδός.
Σὺν τοῖς δέ μ' ἐμβαίνονθ' ἁλυργέσιν, θεῶν
Μή τις πόσωθεν ὄμμαλος βάλοι φθόνος.
Πολλὴ γὰρ αἰδὼς σωμαλοφθορεῖν ποσὶν
Φθείρονλα πλοῦτον ἀργυρωνήτους δ' ὑφάς.
Τούτων μὲν οὕτως· τὴν ξένην δὲ πρόμφρως
" Τήνδ' ἐσπόμιζε. τὸν κρατοῦνλα μαλθακῶς
" Θεὸς πόσωθεν ἀμφὶς ποσδέρκεῖ).
" Εκὼν γὰρ οὐδεὶς δυλίῳ χρῆται ζυγῷ.
Αὐτὴ δὲ πολλῶν χρημάτων ἐξαίρελον
Ανθος, στρατοῦ δώρημ', ἐμοὶ ξυνέπολο.
Επεὶ δ' ἀκούειν σὺ κατέστραμμαι τάδε,
Εἶμ' ἐς δόμων μέλαθρα πορφύρας πατῶν.
ΚΛ. Εσιν θάλασσα (τίς δέ νιν κάλασσέσι;)
Τρέφουσα πολλῆς πορφύρας εἰς ἄργυρον
Κηκῖδα πάγκαίνιστον, εἱμάτων βαφάς.
Οἶκος δ' ὑπάρχει τῶνδε σὺν θεοῖς ἄναξ·
Εχειν, πένεσθαι δ' οὐκ, ἐπίσα) δόμος.
Πολλῶν πάλησμὸν δειμάτων ἂν ἠξάμην,
Δόμοισι πρυτανχθέντος ἐν χρησηρίοις,
Ψυχῆς κομίσρα τῆσδε μηχανωμένης.
Ρίζης γὰρ ὕσης, φυλλὰς ἵκετ' ἐς δόμους,
Σκιὰν ὑπερτείνασα χειρὸς κυνός.
Καὶ σοῦ μόλοντος δωματῖτιν ἑσίαν,
Θάλπος μὲν ἐν χειμῶνι χημαίνεις μολών.
Οταν δὲ τἀχὴ Ζεὺς τ' ἀπ' ὄμφακος πικρᾶς
Οἶνον, τότ' ἤδη ψῦχος ἐν δόμοις πέλει,
Ανδρὸς τελείου δῶμ' ἐπισρωφωμένου.
Ζεῦ, Ζεῦ τέλεις, τὰς ἐμὰς ἀχὰς τέλοι·

Μέλοι

Μέλοι δέ τι ζοὶ τῶνπερ ἂν μέλλῃς τελεῖν.

Ἀντιστροφὴ α'. Στροφὴ α'.

ΧΟ. Τίπλε μοι τόδ' ἐμπέδως
Δεῖσμα φρενοτήριον
Καρδίας περασκόπε πολίταις,
Μαντιπολεῖ δ' ἀκέλδεος
Ἀμοιβὸς ἀοιδά·
Οὐδ' ἀποπλύσας δίκαν
Δυσκρίτων ὀνειράτων
Θάρσος ἐμπιθὲς ἵζει
Φρενὸς φίλον θρόνον; χρόνος δ' ἐπεὶ
Πρυμνησίων ξυνεμβόλοις
Ψαμμίας ἀκάτας πα-
ρήβησεν, εὖθ' ὑπ' Ἰλιον
Ὥρλο ναυβάτας στρατός.

Ἀντιστροφὴ α'.

Πάθομαι δ' ἀπ' ὀμμάτων
Νόσον, αὐτόμαρτυς ὤν.
Τὸν δ' ἄνδ λύρας ὅπως ὑμνῳδεῖ
Θρῆνον ἐριννύς,
Αὐτοδίδακτος ἔσωθεν
Θυμὸς ὑ τὸ πᾶν ἔχων
Ἐλπίδος φίλον θράσος.
Σπλάγχνα δ' ὕτοι μαλάζει
Πρὸς ἐνδίκοις φρεσὶν τελεσφόροις
Δίναις κυκλούμενον κέαρ.
Εὔχομαι δ' ἄπ' ἐμᾶς τι
Ἐλπίδος ψυδῆ πεσεῖν,
Ες τὸ μὴ τελεσφόρον.

Στροφὴ β'.

Μάλα γὼ τοι τᾶς πολλᾶς

Υγιείας ἀκόρεσον
Τέρμα. νόσος γὼ
Γείτων ὁμότοιχος ἐρείδει,
Καὶ πότμος ἀθυπορῶν
Ανδρὸς ἔπαγσιν
Αφανῆ ἔρμα.
Καὶ τὸ μὲν πρὸ χρημάτων
Κτησίων ὄκνος βαλών,
Σφενδόνας ἀπ' ἀμέτρυ,
Οὐκ ἔδυ πρόπας δόμος
Πημονᾶς γέμων ἄγαν·
Οὐ δ' ἐπόνησε χάφος.
Πολλά τοι δόσις ἐκ Διὸς
Αμφιλαφής τε καὶ
Ἐξ ἀλόκων ἐπίδειαν
Νῆσιν ὤλεσεν νόσον.

Αντιστροφὴ β'.

Τὸ δ' ἐπὶ γᾶν πεσόντ ἄπαξ
Θανάσιμον προπάροιθ' ἀνδρὸς
Μέλαν αἷμα τίς ἂν πάλιν
Αγχαλέσαιτ' ἐπαείδων;
Οὐδὲ τὸν ὀρθοδαῆ
Τῶν φθιμένων ἀνάγειν
Ζεὺς αὖτ' ἔπαυσ' ἐπ' ἀλαθείᾳ γε.
Εἰ δὲ μὴ τεταγμένα
Μοῖρα μοῖραν ἐκ θεῶν
Εἶργε μὴ πλέον φέρειν,
Προφθάσασα καρδία
Γλῶσσαν ἂν τάδ' ἐξέχοι.
Νῦν δ' ὑπὸ χότῳ βρέμει
Θυμαλγής τε, κοὐδὲν

Επιλ-

Επελπομένα ποτὲ
Καίριον ἐκλοιπάσειν,
Ζωπυρουμένας φρενός.

Ιαμβοι.

ΚΛ. Εἴσω κομίζω κἀγώ· Κασάνδραν λέγω·
Επεί σ' ἔθηκε Ζεὺς ἀμηνίτως δόμοις
Κοινωνὸν εἶναι χερνίβων, πολλῶν μέτα
Δούλων, παθεῖσαν κλησίν βωμῶ πέλας.
Εκβαιν' ἀπήνης τῆσδε· μηδ' ὑπερφρόνει.
Καὶ παῖδα γάρ τοι φασὶν Αλκμήνης ποτὲ
Πραθέντα, τλῆναι κἀζυγῶν δίγειν βίαν. 1050
Εἰ δ' ὧν ἀνάγκη τῆς δ' ἐπιρρέποι τύχης,
Αρχαμπλύτων δίαιτ' πολλὴ χάρις.
Οἱ δ' ὕποτ' ἐλπίσαντες ἥμησαν καλῶς,
Ωμοί τε δούλοις πάντα, κἀπαρὰ γάθμην.
Εχεις παρ' ἡμῶν οἵπερ νομίζεται.

ΧΟ. Σοί τοι λέγουσα ταὐτὸν ἀφῆ λόγον.
Εντὸς δ' ἂν ὄσα μορσίμων ἀγρεμάτων,
Πείθοι' ἄν εἰ πείθοι· ἀπειθοίης δ' ἴσως.

ΚΛ. Αλλ' εἴπερ ἐσὶ μὴ, χελιδόνος δίκην,
Αγνῶτα φωνὴν βάρβαρον κεκλημένη, 1060
Εσω φρενῶν λέγουσα πείθω νιν λόγω.

ΧΟ. Επε. τὰ λῷσα τῶν παρεσώτων λέγε.
Πείθου, λιποῦσα τόνδ' ἁμαξήρη θρόνον.

ΚΛ. Οὔτοι θυραῖαν τήνδ' ἐμοὶ χολὴ πάρα
Τρίβειν· τὰ μὲν γὰρ ἐσίας μεσομφάλου
Εσηκεν ἤδη μῆλα πρὸς σφαγὰς πυρός,
Ως ὕποτ' ἐλπίσασι τήνδ' ἕξειν χάριν.
Σὺ δ' εἴτι δράσεις τῶνδε, μὴ χολὴν τίθει.
Εἰ δ' ἀξυνήμων ὄσα μὴ δέχῃ λόγον,
Σὺ δ' ἀντὶ φωνῆς φράζε καρβάνῳ χερί. 1070

ΧΟ. Ερμηνέως ἔοικεν ἡ ξένη τορῦ
Δεῖσθαι· τρόπος δὲ θηρὸς ὡς ναμρέτης.
ΚΛ. Η μαίνεταί γε κ' κακῶν κλύει φρενῶν,
Ητις λιποῦσα μὲν πόλιν ναμρέσιον
Ηκει· χαλινὸν δ' οὐκ ἐπίσταται φέρειν,
Πρὶν αἱμαληρὸν ἐξαφρίξεσθαι μόρου.
Οὐ μὴν πλέω ῥίψασ' ἀτιμασθήσομαι.
ΧΟ. Εγὼ δ' (ἐποικτείρω γ') οὐ θυμώσομαι.
Ιὼ, ὦ τάλαινα, τόνδ' ἐρημώσασ' ὄχον,
Εκυσ' ἀνάγκη τῆδε καίνισον ζυγόν.
ΚΛ. Οτοτοτοῖ πόποῖ δᾶ.
Απόλλον, Απολλον.
ΧΟ. Τί ταῦτ' ἀνωτότυξας ἀμφὶ Λοξίᾳ;
Οὐ γὰ τοιοῦτος ὥστε θρηνητοῦ τυχεῖν.
ΚΛ. Οτοτοτοῖ πόποῖ δᾶ.
Απολλον, Απολλον.
ΧΟ. Η δ' αὖτε δυσφημοῦσα τὸν θεὸν καλεῖ
Οὐδὲν προσήκοντ' ἐν γόοις παρασατεῖν.
ΚΛ. Απολλον, Απολλον,
Αγυιεῦ τ' Απόλλων ἐμός.
Απώλεσας γὰ μόλις τὸ δεύτερον.
ΧΟ. Χρήσειν ἔοικεν ἀμφὶ τῷ αὐτῆς κακῶν.
Μένει τὸ θεῖον δυλίᾳ παρὲν φρενί.
ΚΛ. Απολλον, Απολλον.
Αγυιεῦ τ' Απόλλων ἐμός.
Α ποῖ ποτ' ἤγαγές με; πρὸς ποίαν στέγην;
ΧΟ. Πρὸς τὴν Ατρειδῶν· εἰ σὺ μὴ τόδ' ἐννοεῖς,
Εγὼ λέγω σοι· κ' τάδ' οὐκ ἐρεῖς ψεύθη.
Αντιστροφικα. Στροφὴ α'.
ΚΛ. Μισόθεον μὲν ὖν, πολλὰ ξυνίσορα
Αὐτόφονα κακὰ, κ' ἀρᾶναι,

Ανδρὸς

Ανδρὸς σφάγιον χ' ὅσιον βαλήριον.

Ιαμβοι.

ΧΟ. Εοικεν εὕριν ἡ ξένη κυνὸς δίκην
Εἶναι, μαλάξει δ' ὧν ἐφαρήσει φόνον.

Αντιστροφὴ ά.

ΚΑ. Μαρτυρίοις γὰ τοῖσδε πείθομαι·
Κλαύμμα τάδε βρέφη, σφαγὰς,
Οπλάς τε χάρκας πρὸς πατρὸς βεβρωμένας.

Ιαμβοι.

ΧΟ. Ημῶν κλέος χ' μαντικὸν πεπυσμένοι,
Ημῶν, ἀοφήτας δ' ὕτινας μαστεύομεν.

Στροφὴ β'.

ΚΑ. Ιὼ ποποῖ, τί ποτε μήδε);
Τί τόδε νέον ἄχθος μέγα
Μέγ' ἐν δόμοισι τοῖσδε μήδε) κακὸν
Αφερτον φίλοισι, δυσίατον· ἀλκὰν
Δ' ἐκὰς ἀποσατεῖ;

Ιαμβοι.

ΧΟ. Τύτων ἄϊδρίς εἰμι σὺν μαντεύμάτων.
Εκεῖνα δ' ἔγνων· πᾶσα γὰ βοᾷ πάλις.

Αντιστροφὴ β'.

ΚΑ. Ιὼ τάλαινα, τόδε γὰ τελεῖς,
Τὸν ὁμοδέμνιον πόσιν
Λουτροῖσι φαιδρύνασα; πῶς φράσω τέλος;
Τάχος γὰ τόδ' ἔσαι. προλείπει δὲ χεὶρ ἐκ
Χειρὸς ὀρεγομένα.

Ιαμβοι.

ΧΟ. Οὔπω ξυνῆκα· νῦν γὰ ἐξ αἰνιγμάτων
Επαργέμοισι θεσφάτοις ἀμηχανῶ.

Αντιστροφικα. Στροφὴ ά.

ΚΑ. Ε, ἔ, παπαῖ, παπαῖ, τί τόδε φαίνε);

Η δί-

Η δίκλυόν τι γ' αἴδω;
Αλλ' ἄρκυς ἡ ξύνδικος, ἡ ξυναιτία
Φόνου· τάσις δ' ἀκόρεστος γᾶι
Καλολολυξάτω θυμὸς λιτύμου.

Στροφὴ β'.

ΧΟ. Ποίαν ἐριννὺν τήνδε δώμασιν κέλῃ
Επορθιάζειν; ὔ με φαιδρύνει λόγος.
Επὶ δὲ καρδίαν ἕδραμε κροκοβαφὴς
Σταγών, ἅτε χ' δορία πλώσιμος
Ξυναυτεῖ βίου δύτλος αὐγᾶις.
Ταχεῖα δ' ἅτα πέλει.

Αντιστροφὴ ά.

ΚΛ. Α ἄ· ἰδού, ἰδού, ἄπεχε τῆς βοὸς
Τὸν ταῦρον· ἐν πέπλοισιν
Μελάγκερων λαβοῦσα μηχανήμαι
Τύπλᾳ· πίπτει δ' ἐνύδρῳ τάχει.
Δολοφόνου δὲ λέβητος τύχαν σοι λέγω.

Αντιστροφὴ β'.

ΧΟ. Οὐ κομπάσαιμ' ἂν θεσφάτων γνώμων ἄκρος
Εἶναι, κακῷ δέ τῳ προσεικάζω τάδε.
Απὸ δὲ θεσφάτων τις ἀγαθὰ φάτις
Βροτοῖσι τέλλεται. κακῶν χ' δὴ αἱ
Πολυετεῖς τέχναι θεατιῳδὸν
Φόβον φέρουσι μαθεῖν.

Στροφὴ γ'.

ΚΛ. Ιὼ ἰώ, ταλαίνας κακόπολμοι τύχαι.
Τὸ χ' ἐμὸν θροῶ πάθος ἐπαίσχεασα.
Ποῖ δή με δεῦρο τὴν τάλαιναν ἤγαγες;
Οὐδέποτ' εἰ μὴ ξυνθανουμένην. τί χ';

Στροφὴ δ'.

ΧΟ. Φρενομανής τις εἶ θεοφόρητος, ἀμ-

φὶ

φὶ δ' αὐτᾶς θροεῖς
Νόμον ἄνομόν γε, οἷά τις ξυθὰ
Ἀκόρεσος βοᾶς φιλοίκτοις ταλαίναις φρεσὶν
Ἰτυν Ἰτυν στένουσ' ἀμφιθαλῆ κακοῖς
Ἀηδὼν βίον.

Ἀντιστροφὴ γ'.

ΚΑ. Ἰὼ ἰώ, λιγείας ἀηδόνος μόρον·
Περιβάλουσι γὰρ οἱ πτεροφόρον δέμας
Θεοὶ, γλυκύν τ' αἰῶνα κλαυμάτων ἄτερ·
Ἐμοὶ δὲ μίμνει χισμὸς ἀμφήκει δορί.

Ἀντιστροφὴ δ'.

ΧΟ. Πόθεν ἐπισύτους θεοφόρους τ' ἔχεις
Μαλαίνας δύας,
Τὰ δ' ἐπιφόβῳ δυσφάτῳ κλαγᾷ
Μελοῦπεῖς, ὀμῶ τ' ὀρθίοις ἐν νόμοις;
Πόθεν ὄρνις ἔχεις θεσπίας ὁδοῦ
Κακορρήμονας;

Στροφὴ ε.

ΚΑ. Ἰὼ γάμοι, γάμοι Πάριδος ὀλέθριοι
Φίλων. ἰὼ Σκαμάνδρου πάτριον ποτόν.
Τότε μὲν ἀμφὶ σὰς αἴόνας τάλαινα
Ἠνυτόμαν τροφᾶις·
Νῦν δ' ἀμφὶ Κωκυτόν τε κ' Ἀχερουσίους
Ὀχθους ἔοικα θεσπιῳδήσειν τάχα.

Στροφὴ ς'.

ΧΟ. Τί τόδε τερὸν ἄγαν ἔπος ἐφημίσω
Νεοσσὸς ἀνθρώπων μάθοι.
Πέπλησμαι δ' ὑπαὶ δήσμαλι φοινίῳ,
Δυσαλγεῖ τύχᾳ μινυρὰ κακὰ θρεομμένας,
Θραύματ' ἐμοὶ κλύειν.

Αντιστροφὴ ε'.

ΚΑ. Ἰὼ πόνοι, πόνοι πόλεως ὀλυμφίας
Τοπᾶν. ἰὼ πρόπυργοι θυσίαι πάλαι
Πολυκανεῖς βοτῆ ποιμνόμων· ἄκος
Δ' οὐδὲν ἐπήρκεσαν,
Τὸ μὴ πόλιν μὲν ὥστερ οὖν ἔχει παθεῖν. 1180
Ἐγὼ δὲ θερμόνους ταχ' ἐμπέδῳ βακῶ.

Αντιστροφὴ ς'.

ΧΟ. Ἐπόμμα πρωτέροις ταὐτὸ ἐφημίσω.
Καὶ τίς σε χὠ κακοφρονεῖν
Τίθησι δαίμων ὑπερβαρὴς ἐμπλήκων,
Μελίζειν πάθη γοερὰ θανατοφόρα;
Τέρμα δ' ἀμηχανῶ.

Ιαμβοι.

ΚΑ. Καὶ μὴν ὁ χρησμὸς οὐκέτ' ἐκ καλυμμάτων
Εσαι δεδορκὼς, νεογάμῳ νύμφαις δίκην·
Λαμπρὸς δ' ἔοικεν ἡλίῳ πρὸς ἀντολὰς,
Πνέων ἐσήξειν ὥστε κύμαλος δίκην 1190
Κλύειν πρὸς αὐγὰς τῶνδε πήμαλος πολύ·
Μεῖζον. φρενώσω δ' οὐκέτ' ἐξ αἰνιγμάτων.
Καὶ μαρψυρεῖτε ξυνδρόμως ἴχνος κακῶν
Ρινηλατήσαντες ἀρχαῖα πεπραγμένα.
Τὴν γὰρ στέγην τήνδ' ὕποτε ἐκλείπει χορὸς
Σύμφθογγος, οὐκ εὔφωνος· οὐ γὰρ εὖ λέγει.
Καὶ μὴν πεπωκώς γ', ὡς θρασύνεσθαι πλέον,
Βρότειον αἷμα κῶμος ἐν δόμοις μένει,
Δύσπεμπτος ἔξω συγγόνων ἐρινύων.
Υμνοῦσι δ' ὕμνον δώμασι προσήμενοι 1200
Πρώταρχον ἄτην· ἐν μέρει δ' ἀπέπτυσαν
Εὐνὰς ἀδελφῷ τῷ πατοῦντι δυσμενεῖς.
Ημαρτον, ἢ θηρῶ τι τοξότης τις ὡς;

Η ψεύ-

Η ψαδόμαντις εἰμι θυρακόπος φλέδων;
Εκμαρτύρησον πρύμόσας τὸ μ' εἰδέναι
Λόγῳ παλαιὰς τῶνδ' ἁμαρτίας δόμων.
ΧΟ. Καὶ πῶς ἂν ὅρκος πῆμα γηναίως φυγεῖν
Παγώνιον γλώσσοιτο; θαυμάζω δέ σε.
Πόντιν πέραν τραφεῖσαν ἀλλόθρουν πόλιν,
Κυρεῖν λέγουσαν ὥσπερ οἱ παρεστάτες.
ΚΑ. Μάντις μ' Απόλλων τῷ δ' ἐπέστησεν τέλει.
Προτῦ μὲν αἰδὼς ἦν ἐμοὶ λέγειν τάδε.
ΧΟ. Μῶν ᾗ θεὸς περ ἱμέρῳ πεπλησμένος;
Αβρύνεῖ γὰ πᾶς τις εὖ πράσσων πλέον.
ΚΑ. Αλλ' ἦν παλαιὸς, κάρτ' ἐμοὶ στέργων χάριν.
ΧΟ. Η καὶ τέκνων εἰς ἔρσον ἦλθεῖον νόμῳ;
ΚΑ. Ξυναρέσασα Λοξίαν ἐψεύσαμην.
ΧΟ. Ηδη τέχναισιν ἐνθέοις μῆνιμ' ἰᾶν;
ΚΑ. Ηδη πολίτας πάντ' ἐθέσπιζον πάθη.
ΧΟ. Πῶς δῆτ' ἄναλτος ἦδα Λοξίου κότῳ.
ΚΑ. Επειθον οὐδὲν οὐδέν, ὡς τὰδ' ἤμπλακον.
ΧΟ. Ημῖν γε μὲν δὴ πιστὰ θεσπίζειν δοκεῖς.
ΚΑ. Ιὺ, ἰὺ, ὦ ὦ κακά.
Υπ' αὖ με δεινὸς ὀρθομαντείας πόνος
Στροβεῖ, παράστων φροιμίοις ἐφημίοις.
Ορᾶτε τόσδε τοὺς δόμοις ἐφημένους
Νέους, ὀνείρων προσφερεῖς μορφώμασιν;
Παῖδες θανόντες ὡσπερεὶ πρὸς ὧν φίλων,
Χεῖρας χρεῶν πλήθοντες οἰκείας βορᾶς,
Σὺν ἐγκάτοις τε σπλάγχν' ἐποίκτιστον γέμος,
Πρέπουσ', ἔχοντες ὧν πατὴρ ἐγεύσατο.
Εκ τῶνδε τοινὰς φημὶ βυλεύειν τινὰ
Λέοντ' ἄναλκιν ἐν λέχει τροφώμενον
Οἰκουρὸν, οἴμοι, τῷ μολόντι δεσπότῃ

Εμοῦ.

Εμῷ. φέρειν γὰ χρὴ τὸ δύσκιον ζυγόν.
Νεῶν τ' ἔπαρχος Ιλίᾳ τ' ἀνασάτης
Οὐκ οἶδεν οἷα γλῶσσα μισητῆς κυνὸς
Λέξασα, κ) λείνασα φαιδρόνους, δίκην
Ατης λαθραίᾳ, τάξει) κακῇ τύχῃ.
Τοιαῦτα τολμᾷ θῆλυς· ἄρσενος φονεύς 1240
Εσιν. τί νιν καλῦσα δυσφιλὲς δάκος,
Τύχοιμ' ἄν; ἀμφίσβαιναν, ἢ Σκύλλαν τινὰ
Οἰκοῦσαν ἐν πέτραισι, ναυτίλων βλάβην,
Θύουσαν ἅδῃ μητέρ', ἄσπονδόν τ' ἀρὰν
Φίλοις πνέουσαν; ὡς δ' ἐπωλολύξαλο
Η παλίοτολμος, ὥσπερ ἐν μάχης τροπῇ.
Δοκεῖ δὲ χαίρειν νοσίμῳ ζωπηρίᾳ.
Καὶ τῶνδ' ὅμοιον εἴ τι μὴ πείθω, τί γάρ;
Τὸ μέλλον ἥξει. κ) σὺ μὴν τάχ' παρὼν,
Αγαν γ' ἀληθόμαντιν, οἰκτείρας, ἐρεῖς. 1250
ΧΟ. Τὴν μὲν Θυέστου δαῖτα παιδίων κρεῶν
Ξυνῆκα κ) πέφρικα· κ) φόβος μ' ἔχει,
Κλύοντ' ἀληθῶς ὐδὲν ἐξηκασμένα.
Τὰ δ' ἄλλ' ἀκούσας, ἐκ δρόμου πεσὼν τρέχω.
ΚΛ. Αγαμέμνονός γε φημὶ ἐπόψεσθαι μόρον.
ΧΟ. Εὔφημον, ὦ τάλαινα, κοίμησον στόμα.
ΚΛ. Αλλ' ὅτοι Παιὼν τῷδ' ἐπίσατει λόγῳ.
ΧΟ. Οὐκ, εἰ παρέσται γ'· ἀλλὰ μὴ γένοιτό πως.
ΚΛ. Σὺ μὲν καλὰ χῃ, τοῖς δ' ἀποκλείειν μέλει.
ΧΟ. Τινὸς πρὸς ἀνδρὸς τῦτ' ἄχος πορσύνεις); 1260
ΚΛ. Η κάρτ' ἄρ' ἂν παρεισκόπεις χρησμῶν ἐμῶν.
ΧΟ. Τῦ γὰ τελῦντος ὐξυνῆκα μηχανήν.
ΚΛ. Καὶ μὴν ἄγαν γ' Ελλην' ἐπίσαμαι φάτιν.
ΧΟ. Καὶ γὰ τὰ πυθόχρανλα, δυσπαθῆ δ' ὅμως.
ΚΛ. Παπαῖ, οἷον τὸ πῦρ ἐπέρχει) δέ μοι;

Οτοτοῖ,

Οτοτοῖ, Λύκει' Απολλον· οἵ ἐγὼ, ἐγώ.
Αὖτη δίπους λέαινα ξυγκοιμωμένη
Λύκῳ, λέοντος ἀγλαᾶς ἀπουσίᾳ,
Κτενεῖ με τὴν τάλαιναν· ὡς δὲ φάρμακον
Τεύχουσα κἀμοῦ μισθὸν ἐνθήσει κότῳ.
Επαύχεῖ θήγουσα φωτὶ φάσγανον,
Εμῆς ἀγωγῆς ἀντίτισασθαι φόνον.
Τί δῆτ' ἐμαυτῆς καταγέλωτ' ἔχω τάδε,
Καὶ σκῆπτρα, καὶ μαντεῖα περὶ δέρῃ τέφη;
Σὲ μὲν πρὸ μοίρας τῆς ἐμῆς διαφθερῶ.
Ιτ' ἐς φθόρον πεσόντ'· ἀγαθὼ δ' ἀμείψομαι.
Αλλην τιν' ἄτην αὖτ' ἐμοῦ πλουτίζετε.
Ιδὼ δ' Απόλλων αὐτὸς ἐκδύων ἐμὲ
Χρησηρίαν ἐσθῆτ'. ἐπόπτευσας δέ με
Κἂν τοῖσδε κόσμοις καταγελωμένην μετὰ
Φίλων, ὑπ' ἐχθρῶν, ὡς διχορρόπως μάτην.
Καλουμένη δὲ φοιτὰς ὡς ἀγύρτρια,
Πτωχὸς, τάλαινα, λιμόθυμος ἠνεσχόμην.
Καὶ νῦν ὁ μάντις μάντιν ἐκπράξας ἐμὲ,
Απήγαγ' ἐς τοιάσδε θανασίμους τύχας.
Βωμοῦ πατρῴου δ' ἀντεπίξηνον μέσῃ,
Θερμῷ κοπείσης φοινίῳ σφαγμάτι.
Οὐ μὴν ἄτιμοί γ' ἐκ θεῶν τεθνήξομαι.
Ηξει γὰρ ἡμῶν ἄλλος αὖ τιμάορος,
Μητροκτόνον φίτυμα, ποινάτωρ πατρός·
Φυγὰς δ' ἀλήτης τῆσδε γῆς ἀπόξενος
Κάτεισιν, ἄτας τάσδε θριγκώσων φίλοις,
Αξειν νιν ὑπλίασμα κειμένου πατρός.
Τί δῆτ' ἐγὼ κάτοικος ὧδ' ἀναστένω,
Επεὶ τὸ πρῶτον εἶδον Ιλίου πόλιν
Πράξασαν ὡς ἔπραξεν· οἵ δ' ἔχουν πόλιν,

Οὕτως ἀπαλλάσσεσθαι ἐν θεῶν κρίσει;
Ἴσα πράξω, τλήσομαι τὸ κατθανεῖν.
Ὁμώμοκ' ὁ ὅρκος ἐκ θεῶν μέγας.
Ἀδὺ φύλας δὲ τὰς λέγω, φεύγειν πάτραν.
Ἐπέχομαι δὲ καιρίας πληγῆς τυχεῖν,
Ὡς ἀσφάδαστος, αἱμάτων ἀθρησίμων
Ἀπορρυέντων, ὅμμα ξυμβάλω τόδε.

ΧΟ. Ὦ πολλὰ μὲν τάλαινα, πολλὰ δ' αὖ σοφὴ
Γύναι· μακρὰν ἔτεινας. εἰ δ' ἐτητύμως
Μόρον τὸν αὐτῆς οἶδα, πῶς, θεηλάτου
Βοὸς δίκην, πρὸς βωμὸν ἀτόλμως πατεῖς;

ΚΛ. Οὐκ ἔς' ἄλυξις· ξένοι χρόνῳ πλέω.

ΧΟ. Ὁ δ' ὕστερός γε τῷ χρόνῳ πρεσβεύεται.

ΚΛ. Ἥκει τόδ' ἦμαρ· σμικρὰ κερδανῶ φυγῇ.

ΧΟ. Ἀλλ' ἴσθι τλήμων ὡς ἀπ' ἀτόλμου φρενός.

ΚΛ. Οὐδεὶς ἀκούει ταῦτα πλὴν δαιμόνων.

ΧΟ. "Αλλ' ἀκλεῶς τοι καθανεῖν χάρις βροτῷ.

ΚΛ. Ἰώ, πάτερ, σοῦ πλήν τε φιλαίων τέκνων.

ΧΟ. Τί δ' ἐσὶ χρῆμα, τίς σ' ἀποσρέφει φόβος;

ΚΛ. Φεῦ, φεῦ.

ΧΟ. Τί τῦτ' ἔφαξας; εἴ τι μὴ φρενῶν σύγος.

ΚΛ. Φόβον δόμοι πνέουσιν αἱματοσαγῆ.

ΧΟ. Καὶ πῶς τόδ' ὄζει θυμάτων ἐφεσίων;

ΚΛ. Ὁμοιος ἀτμὸς ὥσπερ ἐκ τάφου πρέπει.

ΧΟ. Οὐ Σύριον ἀγλάϊσμα δώμασιν λέγεις.

ΚΛ. Ἀλλ' εἶμι καὶ δόμοισι κωκύσω' ἐμήν
Ἀγαμέμνονός τε μοῖραν. ἀρκείτω βίος.
Ἰώ, ξένοι.
Οὗτοι δυσοίζω θάμνον ὡς ὄρνις, φόβῳ.
Ἀλλ' ὡς θανούσῃ μαρτυρεῖτέ μοι τόδε,
Ὅταν γυνὴ γυναικὸς ἀντ' ἐμοῦ θάνῃ,

Ἀνὴρ

Ανὴρ τι δυσδάμαρτος ἀντ' ἀνδρὸς πίσυ.
Επιξενῦμαι ταῦτα δ' ὡς ταχυμφὴς.
ΧΟ. Ω τλῆμον, οἰκτείρω σε θεσφάτου μόρου. 1330
ΚΛ. Απαξ ἔτ' εἰπεῖν ῥῆσιν ἢ θρῆνον θέλω
Εμὸν τὸν αὐτῆς· ἡλίῳ δ' ἐπεύχομαι
Πρὸς ὕστατον φῶς τοῖς ἐμοῖς τιμαόροις,
Εχθροῖς φονεῦσι τοῖς ἐμοῖς τίνειν ὁμῶς.
Δύλης ταχύσης ἀμαρῦς χειρώματος.
" Ιὼ βρότεια πράγματ'· ἀτυχῆ μὲν
" Σκιά τις ἀνὴρ ἔψειεν· εἰ δὲ δυσυχῆ,
" βολαῖς ὑγρώσσων ἀτόγκος ὤλισε γραφήν.
Καὶ ταῦτ' ἐκείνων μᾶλλον οἰκτείρω πολύ.
Ανάπαιστοι.
ΧΟ. " Τὸ μὲν εὖ πράσσειν ἀκόρεστον ἔφυ 1340
" Πᾶσι βροτοῖς· δακτυλοδεικτῶν
" Δ' ὅστις ἀπειπὼν ἔργα μελάθρων.
Μηκέτι δ' εἰσέλθῃς, τάδε φωνῶν.
Καὶ τῷδε πόλιν μὲν ἑλεῖν ἔδοσαν
Μάκαρες Πριάμῳ·
Θεοτίμητος δ' οἴκαδ' ἱκάνει.
Νῦν δ' εἰ πρεσβύτερον αἷμ' ἀποτίσει,
Καὶ τοῖσι θανοῦσι θανὼν, ἄλλων
Ποινὰς θανάτων ἄγαν ἐπικρανεῖ.
Τίς ἂν εὔξαιτο βροτῶν, ἀσινεῖ 1350
Δαίμονι φῦναι, τάδ' ἀκούων;
Ιαμβοι.
ΑΓ. Ωμοι πέπληγμαι καιρίαν πληγὴν ἔσω.
ΗΜ. Σίγα· τίς πληγὴν αὖτει καιρίως ἠτασμένος;
ΑΓ. Ωμοι, μάλ' αὖθις δευτέραν πεπληγμένος.
ΗΜ. Τύραννον εἰργάσθαι δοκεῖ μοι βασιλέως οἰμώγματι.
Αλλὰ κοινωσώμεθ' ἄν πως ἀσφαλῆ βουλεύματα.

ΗΜ.

ΗΜ. Εγὼ μὲν ὑμῖν τὴν ἐμὴν γνώμην λέγω,
Πρὸς δόμα δεῦρ' ἀσοῖσι κηρύσσειν βοήν.
ΗΜ. Εμοὶ δ' ὅπως τάχιστά γ' ἐμπεσεῖν δοκεῖ,
Καὶ σφᾶλμ' ἑλέσθαι ξὺν νεορρύτῳ ξίφει. 1360
ΗΜ. Καγὼ τοιούτου γνώμαλος κοινωνὸς ὢν
Ψηφίζομαί τι δρᾶν. τὸ μὴ μέλλειν δ' ἀκμή.
ΗΜ. Ορᾶν σάρισι· φροιμιάζου γὰρ ὡς
Τυραννίδος ζημεῖα πράσσοντες πόλει.
ΗΜ. Χρονίζομεν γάρ. οἱ δὲ μελλήσεις κλέος
Πέδον σατοῦσιν, ὐ καθιᾶσιν χερί.
ΗΜ. Οὐκ οἶδα βουλῆς ἥς τινος τυχὼν λέγω.
Τὸ δρῶντός ἐστι γὰρ τὸ βουλεῦσαι πέρι.
ΗΜ. Καγὼ τοιοῦτός εἰμ', ἐπεὶ δυσμηχανῶ
Λόγοισι τὸν θανόντ' ἀνισάραι πάλιν. 1370
ΗΜ. Η γὰρ βίου κλείνοντες ὧδ' ὑπείξομεν
Δόμων καλαγχυλῆρσι τοῖσδ' ἡγεμόσι;
ΗΜ. Αλλ' οὐκ ἀνεκτὸν, ἀλλὰ καθανεῖν κράτει.
πεπαυτέρα γὰρ μοῖρα τῆς τυραννίδος.
ΗΜ. Η γὰρ τεκμηρίοισιν ἐξ οἰμωγμάτων
Μαλλασόμεσθα τάνδρὸς ὡς ὀλωλότος;
ΗΜ. Σάφ' εἰδότας χρὴ τῶνδε μυθεῖσθαι πέρι.
Τὸ γὰρ τοπάζειν τῷ σάφ' εἰδέναι δίκα.
ΗΜ. Ταύτην ἐπαινεῖν πάντοθεν πληθύνομαι,
Τρανῶς Ατρείδην εἰδέναι κυρεῖν θ' ὅπως. 1380
ΚΛ. Πολλῶν πάροιθεν καιρίως εἰρημένων,
Τἀναντί' εἰπεῖν οὐκ ἐπαισχυνθήσομαι.
Πῶς γὰρ τις ἐχθροῖς ἐχθρὰ πορσύνων, φίλοις
Δοκοῦσιν εἶναι, πημονὴν ἀρκύσαλον
Φράζειεν, ὕψος κρεῖσσον ἐκπηδήμαλος;
Εμοὶ δ' ἀγὼν ὅδ' οὐκ ἀφρόντιστος πάλαι
Νίκης παλαιᾶς ἦλθε, σὺν χρόνῳ γε μήν.

Εσηκα

Εσηκα δ' ἔνθ' ἔπεσ' ἐπ' ἐξειργασμένοις.
Οὕτω δ' ἔπραξα (κ' ταῦθ' ὑκ ἀρνήσομαι)
Ως μήτε φεύγειν μήτ' ἀμύνεσθαι μόρον.
Απειρον ἀμφίβληστρον, ὥσπερ ἰχθύων,
Περισσοιχίζω, πλοῦτον εἵματος κακόν.
Παίω δέ νιν δίς· κἄν δυοῖν οἰμώγμασιν
Μεθῆκεν αὑτοῦ κῶλα· κ' πεπλωκότι
Τρίτην ἐπενδίδωμι, τὸν καλὸν χθονὸς
Αδὺ νεκρῶν ζωτῆρος ἐκλαίειν χάριν.
Οὕτω τὸν αὑτοῦ θυμὸν ὁρμαίνει πεσών·
Κἀκφυσιῶν ὀξεῖαν αἵματος σφαγὴν
Βάλλει μ' ἐρεμνῇ ψακάδι φοινίας δρόσου,
Χαίρουσαν ὄμβρῳ ἧσσον, ἢ Διὸς νότῳ
Γᾶν, εἰ σπορητὸς κάλυκος ἐν λοχεύμασιν.
Ως ὧδ' ἐχόντων, πρέσβος Αργείων τόδε,
Χαίροιτ' ἄν, εἰ χαίροιτ', ἐγὼ δ' ἐπεύχομαι.
Εἰ δ' ἦν πρεπόντων ὧς ἐπιστένδειν νεκρῷ,
Τάδ' ἂν δικαίως ἦν, ὑπερδίκως μὲν οὖν
Τοσῶνδε κρατῆρ' ἐν δόμοις κακῶν ὅδε
Πλήσας ἀραίων, αὐτὸς ἐκπίνει μολών.

ΧΟ. Θαυμάζομεν κ γλῶσταν ὡς θρασύστομος,
Ητις τοιόνδ' ἐπ' ἀνδρὶ κομπάζεις λόγον.

ΚΛ. Πειρᾶσθέ μου γυναικὸς ὡς ἀφράσμονος, 1410
Εγὼ δ' ἀτρέσω καρδίᾳ πρὸς εἰδότας
Λέγω· σὺ δ' αἰνεῖν εἴτε μὲ ψέγειν θέλεις,
Ομοιον. ὅτός ἐστιν Αγαμέμνων, ἐμὸς
Πόσις, νεκρὸς δὲ τῇσδε δεξιᾶς χερός·
Εργον δικαίας τέκτονος, τάδ' ὧδ' ἔχει.

Αντιστροφικα. Στροφὴ.

ΧΟ. Τί κακὸν, ὦ γύναι, χθονοτρεφὲς
Εδαιὸν ἢ ποτὸν φασαμένα, δυσᾶς

Ἐξ ἁλὸς ὀρώμην τόδ' ἐπέβα θύος
Δημοθρόους τ' ἀρᾶς; ἀπέδικες, ἀπέταμες·
Ἀπολις δ' ἔσῃ, μῖσος ὄμβριμον ἀσοῖς.

Ιαμβοι.

ΚΛ. Νῦν μὲν δικάζεις ἐκ πόλεως φυγὴν ἐμοὶ,
Καὶ μῖσος ἀσῶν, δημόθρους τ' ἔχειν ἀρᾶς,
Οὐδὲν τόδ' ἀνδρὶ τῷδ' ἐναντίον φέρων·
Ος ὑ πρότιμος ὡσπερεὶ βοτοῦ μόρον,
Μήλων φλεόντων ἀφόκοις νομεύμασιν,
Εθυσεν αὐτοῦ παῖδα, φιλτάτην ἐμοὶ
Ωδῖν', ἐπῳδὸν Θρηκίων τε λημμάτων.
Οὐ τοῦτον ἐκ γῆς τῆσδε χρή σ' ἀνδρηλατεῖν,
Μιασμάτων ἄποιν'; ἐπήκοος δ' ἐμῶν
Εργων, δικασὴς τραχὺς εἶ. λέγω δέ σοι
Τοιαῦτ' ἀπειλεῖν, ὡς παρεσκάσμμένης
Ἐκ τῶν ὁμοίων χειρὶ νικήσαντ' ἐμοῦ
Αρχειν· ἐὰν δὲ τὔμπαλιν κραίνῃ θεὸς,
Γνώσῃ διδαχθεὶς ὀψὲ γοῦν τὸ σωφρονεῖν.

Αντιστροφή.

ΧΟ. Μεγαλόμηλις εἶ, περίφρονα
Δ' ἔλακες. ὥσπερ ὖν φονολιβεῖ τύχα
Φρὴν ἐπιμαίνεῖ. λῖπος ἐπ' ὀμμάτων
Αἷμαλος ἀπρέπειαν τίλλον. ἔτι σε χρὴ
Στερομμάαν φίλων τύμμα τύμμα τίσαι.

Ιαμβοι.

ΚΛ. Καὶ τήνδ' ἀκούεις ὀρκίων ἐμῶν θέμιν·
Μὰ τὴν τέλειον τῆς ἐμῆς παιδὸς δίκην,
Ατην, ἐριννύν θ', αἷσι τόνδ' ἔσφαξ' ἐγὼ,
Οὔ μοι φόβου μέλαθρον ἐλπὶς ἐμπατεῖν,
Εως ἂν ἀθῇ πῦρ ἐφ' ἑστίας ἐμὰς
Αἴγισθος, ὡς τὸ πρόσθεν εὖ φρονῶν ἐμοί.

Οὗτος

Οὗτος γὼ ἡμῖν ἀσὶς ὑ μικρὰ θράσυς.
Κεῖται γυναικὸς τῆσδε λυμαντήριος,
Χρυσηΐδων μείλιγμα τῶν ὑπ' Ιλίῳ·
Η τ' αἰχμάλωτος ἥδε ϗ τερασκόπος,
Καὶ κοινόλεκτρος τῦδε, θεσφατηλόγος
Πιστὴ ξύνδικος, ναυτίλων δὲ ζελμάτων
Ισοτρίζης. ἄτιμα δ' ὐκ ἐπραξάτην.
Ο μὲν γὼ ὕτως· ἡ δέ τοι, κύκνου δίκην,
Τὸν ὕστατον μέλψασα θανάσιμον γόον,
Κεῖται φιλήτωρ τῦδ', ἐμοὶ δ' ἐπήγαγεν
Εὐνῆς παροψόνημα τῆς ἐμῆς χλιδῆς.

Αντιστροφικα. Στροφὴ ά.

ΧΟ. Φεῦ, τίς ἂν ἐν τάχει, μὴ περιώδυνος,
Μηδὲ δεμνιοτήρης,
Μόλοι τὸν ἀεὶ φέρουσ' ἐν ἡμῖν
Μοῖρ' ἀτέλεστον ὕπνον, δαμώτος
Φύλακος ἀμφιεσάτω, ϗ
Πολλὰ πλάνος γυναικὸς διαί;
Πρὸς γυναικὸς δ' ἀπέφθισεν βίον.

Ανάπαιστοι.

Ιὼ, παρανόμως Ελένα μία τὰς πολλὰς,
Τὰς πάνυ πολλὰς ψυχὰς
Ολέσασ' ὑπὸ Τροίᾳ.
Νῦν δὲ τελείαν πολύμιασον
Επηνθίσω δι' αἷμ' ἄνιπλον.
Ητις ἦν τότ' ἐν δόμοις
Ερις ἐρίδμαλος ἀνδρὸς οἰζύς.

ΚΛ. Μηδὲν θανάτῳ μοῖραν ἐπάχῃ
Τοῖσδε βαρυνθείς·
Μηδ' εἰς Ελένην κότον ἐκπρέψῃς,
Ως ἀνδρολέτειρ', ὡς μία πολλῶν

Ανδρῶν

Ανδρῶν ψυχὰς δαναῶν ὀλέσασ',
Αξύσαλον ἄλγος ἔπραξεν.

Αντιστροφὴ ά.

ΧΟ. Δαῖμον, ὃς ἐμπίπλεις δώμασι τὴ
Διφυεῖσι Ταντα λίδαισιν,
Κράτος ἰσόψυχον ἐκ γυναικῶν
Καρδίᾳ δηλὸν ἐμοὶ κραίνεις.
Επὶ δὲ ζώμαλος δίκαν μοι
Κόρακος ἐχθρῶ σαθεὶς ἐκνόμως
Υμνον ὑμνεῖν ἐπάχει).

Ανάπαιστοι.

ΚΛ. Νῦν δ' ὤρθωσας σόμαλος γνώμην,
Τὸν τριπάχυιον
Δαίμονα γῶνας τῆσδε κικλήσκων.
Εκ τῦ γὼ ἔρως αἱμαλολοιχὸς
Νείρῃ τρέφει), πρὶν καλαλῆξαι
Τὸ παλαιὸν ἄχος, νέος ἰχώρ.

Στροφὴ β'.

ΧΟ. Η μέγαν οἴκοις τοῖσδε
Δαίμονα τὴ βαρύμηνιν αἰνεῖς.
Φεῦ, φεῦ κακὸν αἶνον ἀτη-
ρᾶς τύχας ἀκορέσω·
Ιὼ ἰὴ διαὶ διὸς
Παναιτίυ πανεργέτα.
" Τί γὼ βροτοῖς ἄνευ διὸς τελεῖται;
" Τί τῶν' ὐ θεόκραντόν ἐσιν;

Ανάπαιστοι.

Ιὼ, ἰὼ,
Βασιλεῦ, βασιλεῦ πῶς σε δακρύσω;
Φρενὸς ἐκ φιλίας τί ποτ' εἴπω;

Κεῖσαι

Κεῖσαι δ' ἀράχνης ἐν ὑφάσμαλι τῷ-
δ' ἀσεβεῖ θανάτῳ βίον ἐκπνέων,
Ω μοι μοι κοίταν τάνδ' ἀτελεύ-
θερον, δολίῳ μόρῳ δαμεὶς
Ἐκ χερὸς ἀμφιτόμῳ βελέμνῳ.

ΚΛ. Αὐχεῖς εἶναι τόδε τοῦργον ἐμόν.
Μηδ' ἐπιλεχθὴς *
Ἀγαμεμνονίαν εἶναί μ' ἄλοχον.
Φαντάζομμος δὲ γυναικὶ νεκρῷ
Τῷδ' ὁ παλαιὸς δριμὺς ἀλάστωρ,
Ἀτρέως χαλεπῷ θοινατῆρος,
Τόνδ' ἀπέτισεν,
Τέλεον νεαροῖς ἐπιθύσας.

Ἀντιστροφὴ β'.

ΧΟ. Ὡς μὲν ἀναίτιος εἶ
Τῷδε φόνῳ, τίς ὁ μαρτυρήσων;
Πῶ, πῶ; πατρόθεν δὲ ξυναί-
τιος γένοιτ' ἂν ἀλάστωρ.
Βιάζει δ' ὁμοσπόροις
Ἐπιῤῥοαῖσιν αἱμάτων
Μέλας Ἄρης· ὅποι δὲ κῆ πεσοῦνται
Πάχνα κυροῦσι πατρίξει.

Ἀνάπαιστοι.

Ἰὼ, ἰὼ,
Βασιλεῦ, βασιλεῦ, πῶς ξ δακρύσω;
Φρενὸς ἐκ φιλίας τί ποτ' εἴπω;
Κεῖσαι δ' ἀράχνης ἐν ὑφασμάτι τῷ-
δ' ἀσεβεῖ θανάτῳ βίον ἐκπνέων.
Ω μοι μοι κοίταν τάνδ' ἀτελεύ-
θερον, δολίῳ μόρῳ δαμεὶς

Ἐκ χερὸς ἀμφιτόμῳ βελέμνῳ.
ΚΛ. Οὔτ' ἀνελεύθερον οἶμαι θάνατον
Τῷδε γεγένθαι.
Οὐδὲ γὰρ οὗτος δολίαν ἄτην
Οἴκοισιν ἔθηκ'· ἀλλ' ἐμὸν ἐκ τῶ-
δ' ἔρνος ἀερθὲν τὴν πολύκλαυτόν
Τ' Ἰφιγένειαν ἀνάξια δράσας,
Ἄξια πάσχων, μηδὲν ἐν ᾅδᾳ
Μεγαλαυχείτω, ξιφοδηλήτῳ
Θανάτῳ τίσας ἅπερ ἔρξεν.

Στροφὴ γ'.

ΧΟ. Ἀμηχανῶ, φροντίδων στερηθείς,
Εὐπάλαμνον μέριμναν,
Οπα τράπωμαι, πίτνοντος οἴκου.
Δέδοικα δ' ὄμβρου κλύπον δομοσφαλῆ
Τὸν αἱμαληρόν· ψεκὰς δὲ λήγει.
Δίκη δ' ἐπ' ἄλλο πρᾶγμα θήγει βλάβης,
Πρὸς ἄλλαις θηγάναις μοῖρα.

Ἀνάπαιστοι.

ΗΜ. Ἰὼ, γᾶ, γα,
Εἴθ' ἐμ' ἐδέξω πρὶν τόνδ' ἐπιδεῖν
Ἀργυροδοίκῃ
Δροίτας νῦν κατέχουσα χαμάναν.
Τίς ὁ θάψων νιν; τίς ὁ θρηνήσων;
Ἦ σὺ τόδ' ἔρξαι
Τλήσῃ, κλείνασ' ἄνδρα τὸν αὑτῆς,
Ἀποκωκύσαι ψυχὴν, ἄχαριν
Χάριν ἀντ' ἔργων
Μεγάλων ἀδίκως ἐπικράναι;
ΗΜ. Τίς δ' ἐπιτύμβιος

Αἶνος

Αἶνος ἐπ' ἀνδρὶ θείῳ
Σὺν δακρύοιν ἰάπλων
Αληθείᾳ φρενῶν πονήσῃ;

ΚΛ. Οὔ ζε πεισήκῃ τὸ μέλημα λέγειν
Τῦτο· πρὸς ἡμῶν κάπτεισι, κάτθανε.
Καὶ καλαθάψομαι
Οὐχ ὑπὸ κλαυθμῶν τῶν ἐξ οἴκων,
Αλλ' Ιφιγήνειαν· ἵν' ἀπατασίως
Θυγάτηρ, ὡς χρὴ,
Πατέρ' ἀνλιάσασα πρὸς ὠκύπορον
Πόρθμευμ' ἀχέων
Περὶ χεῖρα βαλῦσα φιλήσῃ.

Αντιστροφὴ γ'.

ΧΟ. Ονειδος ἥκει τόδ' αὖτ' ὀνείδει.
Δύσμαχα δ' ἔστι κρῖναι.
Φέρει φέροντ', ἐκλίνει δ' ὁ καίνων.
Μίμνει δὲ μίμνοντος ἐν χρόνῳ Διὸς
Παθεῖν τὸν ἔρξαντα. θέσμιον γὰ
Τίς ἂν γονὰν ῥᾴον ἐκβάλοι δόμων;
Κεκόλλη) γῆρος πρόσαψαι.

Ανάπαιστοι.

ΚΛ. Ες τόνδ' ἐνέβη ξὺν ἀληθείᾳ
Χρησμόν. ἐγὼ δ' ὖν
Εθέλω δαίμονι τῷ Πλειωθενιδᾶν
Ορκους θεμένα, τάδε μὲν τέρψειν,
Δύσπλαά περ ὄνθ'. ὁ δὲ λοιπὸν, ἰόντ' ἐκ τῶνδε δόμων, ἄλλην γᾶιαν
Τρίβειν θανάτοις αὐθέντασιν.
Κτεάνων τε μέρος βαιὸν ἐχούσῃ
Πᾶν ἀπόχρη μοι, δ' ἀλληλοφόνους

Μανίας

Μανίας μελάθρων ἀφελύσῃ.

Ιαμβοί.

ΑΓ. Ω φέγγος εὔφρον ἡμέρας δικηφόρου.
Φαίην ἄν ἤδη νῦν βροτῶν τιμαόρους
Θεοὺς ἄνωθεν γῆς ἐποπτεύειν ἄχη,
Ἰδὼν ὑφαντοῖς ἐν πέπλοις ἐριννύων
Τὸν ἄνδρα τόνδε κείμενον φίλως ἐμοὶ,
Χερὸς παλρῴας ἐκλίνοντα μηχανάς.
Ἀτρέως γὰρ ἄρχων τῆσδε γῆς, τύτου πατὴρ,
Πατέρα Θυέστην τὸν ἐμὸν, ὡς τορῶς φράσαι,
Αὐτῦ τ' ἀδελφὸν, ἀμφίλεκτος ὢν κράτει,
Ηνδρηλάτησεν ἐκ πόλεώς τε καὶ δόμων.
Καὶ πεσσρόπαγος ἑσίας μολὼν πάλιν
Τλήμων Θυέστης, μοῖραν εὕρετ' ἀσφαλῆ,
Τὸ μὴ θανὼν παλρῷον αἵμάξαι πέδον
Αὐτῦ. ξένια δὲ τῦδε δύσθεος πατὴρ
Ἀτρέως, πεσθύμως μᾶλλον ἢ φίλως, παλρὶ
Τῷ μῷ, κρευργὸν ἦμαρ ἀθύμως ἄγειν
Δοκῶν, παρέχει δαῖτα παιδίων κρεῶν.
Τὰ μὲν ποδήρη καὶ χερῶν ἄκρας κλέτας
Εθρυπτ' ἄνωθεν ἀνδρακὰς καθήμενος.
Ασημα δ' αὐτῶν αὐτίκ' ἀγνοίᾳ λαβὼν,
Εδει βορὰν ἄσωστον, ὡς ὁρᾷς, γύει.
Κἄπειτ' ἐπιγνὺς ἔργον ὑ καλαίσιον,
Ὠμωξεν ἄν, πίπλει δ' ἄπο σφαγῆς ἑρῶν,
Μόρον δ' ἄφερτον Πελοπίδαις ἐπάχει),
Λάκτισμα δείπνυ ξυνδίκως τιθεὶς ἀρᾷ.
Οὕτως ὀλέσθη πᾶν τὸ Πλειστένυς γύος.
Εκ τῶνδέ σοι πεσόντα τόνδ' ἰδεῖν πάρα.
Κἀγὼ δίκαιος τῦδε τῦ φόνυ ῥαφεύς.
Τρίτον γὰρ ὄντα μ' ἐπὶ δέκ' ἀθλίῳ παλρὶ

Συνε-

Συνεξελαύνει τυτθὸν ὄντ' ἐν ἀπαργάναις.
Τραφέντα δ' αὖθις ἡ δίκη κατήγαγεν.
Καὶ τῶδε τἀνδρὸς ἡμάρτομεν δυραῖος ὤν,
Πᾶσαν ξυνάψας μηχανὴν δυσβουλίας.
Οὕτω καλὸν δὴ κ' τὸ κατθανεῖν ἐμοὶ,
Ἰδόντα τῦτον τῆς δίκης ἐν ἔρκεσιν.

ΧΟ. Αἴγιδ', ὑβρίζειν ἐκ παλαιῶν ἐκ σέθεν.
Σὺ δ' ἄνδρα τόνδ' ἔφης ἀκὼν παλαιανεῖν,
Μόνος δ' ἔποικον τόνδε βουλεῦσαι φόνον.
Οὔ φημ' ἀλύξειν ἐν δίκῃ τὸ σὸν κάρα
Δημορρίφεις, ξαφ' ἴσθι, λασίμους ἀρᾶς.

ΑΙ. Σὺ ταῦτα φωνεῖς ναυτέρα θεσπέσμους
Κώπῃ, κρατύνων ἦλ' ἐπὶ ζυγῷ δορός;
Γνώσῃ, γέρων ὤν, ὡς διδάσκεσθαι βαρὺ
Τῷ τηλικύτῳ, ξωφρονεῖν εἰρημένον.
Δεσμὸς δὲ κ' τὸ γῆρας, αἴ τι νήσεις
Δύαι, διδάσκειν ἐξοχώτατ' φρενῶν
Ἰατρομάντεις. ὐχ ὁρᾷς ὁρῶν τάδε;
Πρὸς κέντρα μὴ λάκτιζε, μὴ πήσας μογῇς.

ΧΟ. Γύναι, σὺ τὺς ἥκοντας ἐκ μάχης νέον
Οἴκυρὸς ἦλθεν ἀνδρὸς ἀρχύνσ' ἅμα,
Ἀνδρὶ ξαληγῷ τόνδ' ἐβύλασας μόρον;

ΑΙ. Καὶ ταῦτα πᾶπτε κλαυμάτων ἀρχηγμπ.
Ὀρφεῖ δὲ γλῶσσαν τὴν ἐναντίαν ἔχεις.
Ὁ μὲν γ' ἦγε πάντ' ἀπὸ φθογγῆς χαρᾷ,
Σὺ δ' ἐξορίνας ἡπίοις ὑλάγμασιν
Ἄξῃ· ξαληθεὶς δ' ἡμερώτερος φανῇ.

ΧΟ. Ὡς δὴ σύ μοι τύραννος Ἀργείων ἔσῃ,
Ὃς ὐκ, ἐπειδὴ τῷ δ' ἐβύλασας μόρον,
Δρᾶσαι τόδ' ἔργον ὐκ ἔτλης αὐτοκλόνως;

ΑΙ. Τὸ γ' δολῶσαι φησὶ γυναικὸς ἦν ξαφῶς·

Εγὼ δ' ὕποπλος ἐχθρὸς ἢ παλαγμάτων.
Ἐκ τῶνδε τῆσδε χρημάτων πειράσομαι
Ἄρχειν πολιτῆν· τὸν δὲ μὴ πειθάνορα
Ζεύξω βαρείαις ἴτι μὴ ζειρασφόρον
Κριθῶν λάτον· ἀλλ' ὁ δυσφιλὴς κότῳ
Λιμὸς ξύνοικος μαλθακὸν σφ' ἐπόψεται.

ΧΟ. Τί δὴ τὸν ἄνδρα τόνδ' ἀπὸ ψυχῆς κακῆς
Οὐκ αὐτὸς ἠνάριζες; ἀλλὰ σὺν, γυνὴ
Χώρας μίασμα καὶ θεῶν ἐξχωρίων
Ἐλεῖν. Ὀρέσης ἆρά σου βλέπει φάος,
Ὅπως καλεῖθὼν δεῦρο πρόμμοῖ τύχη,
Ἀμφοῖν γνώμῃ τοῖνδε παγκρατὴς φονεύς;

Τροχαῖοι.

ΑΙ. Ἀλλ' ἐπεὶ δοκεῖς τάδ' ἔρδειν κἀ λέγειν, γνώσῃ τάχα.

ΧΟ. Εἶα δὴ φίλοι λοχῖται τύρσιν ὑχ ἑκὰς τόδε.
Εἶα δὴ, ξίφος πεύκωπον πᾶς τις ἀντριπιζέτω.

ΑΙ. Ἀλλὰ κἀγὼ μὴν πρόκωπος οὐκ ἀναίνομαι θανεῖν.

ΧΟ. Δεχομμοίς λέγεις θανεῖν (ε· τὴν τύχην δ' ἐρύμεθα.

ΚΛ. Μηδαμῶς, ὦ φίλτατ' ἀνδρῶν, ἄλλα δράσωμμ κακά.
Ἀλλὰ κἀ τάδ' ἐξαμῆσαι πολλὰ δύσηνον ὁ ἔρως·
Πημονῆς δ' ἄλις γ' ὕπαρχε· μηδὲν ἡμαλώμεθα.
Στείχετε δ', οἱ γέροντες, πρὸς δόμους πεπρωμμένους τόσδε
Πρὶν παθεῖν. ἔρξαντα καιρὸν χρὴν τάδ' ὡς ἐπράξαμμ.
Εἰ δέ τοι μόχθων χθόνιοι τῆσδ' ἄλις γ' ἐχοίμεθ' ἄν,
Δαίμονος χολῇ βαρείᾳ δυσυχῶς πεπλησμένοι.
Ὧδ' ἔχει λόγος γυναικὸς, εἴτις ἄξιοῖ μαθεῖν.

ΑΙ. Ἀλλὰ τόσδε μοι μάταιαν γλῶσσαν ὧδ' ἀπαιθίσαι,
Κἀκβαλεῖν ἔπη τοιαῦτα δαίμονας πειρωμμένους,
Σώφρονος γνώμης δ' ἁμαρτῆτον κρατῆσαι.

ΧΟ. Οὐκ ἂν Ἀργείων τόδ' εἴη, φῶτα πρόσταιγειν κακόν.

ΑΙ.

ΑΙ. Αλλ᾽ ἐγώ σ᾽ ἐν ὑστέραισιν ἡμέραις μέτειμ᾽ ἔτι.
ΧΟ. Οὔκ, ἐὰν δαίμων Ορέστην δεῦρ᾽ ἀπαθύνῃ μολεῖν.
ΑΙ. Οἶδ᾽ ἐγὼ φεύγοντας ἄνδρας ἐλπίδας ζιτυμώνς.
ΧΟ. Πράσσε, πιαίνυ, μιαίνων τὴν δίκην· ἐπεὶ πάρα.
ΑΙ. Ιωδι μοι δώσων ἄποινα τῆσδε μωρίας χάριν.
ΧΟ. Κόμπασον θαρρῶν, ἀλέκλωρ ὥσπερ θηλείας πέλας.
ΚΛ. Μὴ προλιμήσῃς μαλαίων τῶνδ᾽ ὑλαγμάτων.
Καὶ σὺ θήσομαι κρατῆλε τῶνδε δωμάτων.

ΑΙΣΧΥ-

ΑΙΣΧΥΛΟΥ

ΕΥΜΕΝΙΔΕΣ.

ΥΠΟΘΕΣΙΣ.

ΟΡΕΣΤΗΣ ἐν Δελφοῖς περιεχόμενος ὑπὸ τῶν Ἐριννύων, βουλῇ Ἀπόλλωνος παρεγένετο εἰς Ἀθήνας εἰς τὸ ἱερὸν τῆς Ἀθηνᾶς· ἧς βουλῇ νικήσας, κατῆλθεν εἰς Ἄργος. τὰς δὲ Ἐριννύας φρενῶνας, φησὶν ὁ Εὐμωλπίδας. παρ' ἑτέρῳ κεῖται ἡ μυθοποιΐα.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΠΥΘΙΑΣ προφῆτις.

ΑΠΟΛΛΩΝ.

ΟΡΕΣΤΗΣ.

ΚΛΥΤΑΙΜΝΕΣΤΡΑΣ εἴδωλον.

ΧΟΡΟΣ Εὐμωλπίδων.

ΑΘΗΝΑ.

ΠΡΟΠΟΜΠΟΙ.

Προλογίζει ἡ προφῆτις.

ΕΥΜΕ-

ΕΥΜΕΝΙΔΕΣ.

Ιαμβοι.

ΠΥ.

ΠΡΩΤΟΝ μὲν ἀρχῇ τῇδε πρεσβεύω θεῶν
Τὴν πρωτόμαντιν Γαῖαν· ἐκ δὲ τῆς Θέμιν,
Ἣ δὴ τὸ μητρὸς δεύτερα τόδ' ἔζετο
Μαντεῖον, ὡς λόγος τις. ἐν δὲ τῷ τρίτῳ
Λάχει, θελούσης, οὐδὲ σὺν βίᾳ τινὸς,
Τιτανὶς, ἄλλη παῖς χθονὸς, καθέζετο
Φοίβη, δίδωσιν δ' ἣ γενέθλιον δόσιν
Φοίβῳ· τὸ Φοίβης δ' ὄνομ' ἔχει παρώνυμον.
Λιπὼν δὲ λίμνην, Δηλίαν τε χοιράδα,
Κέλσας ἐπ' ἀκτὰς ναυπόρους τὰς Παλλάδος,
Ἐς τήνδε γαῖαν ἦλθε Παρνησοῦ θ' ἕδρας.
Πέμπουσι δ' αὐτὸν ἔν θ' ἑβίζουσιν μέγα
Κελαδοποιοὶ παῖδες Ἡφαίστου, χθόνα
Ἀνήμερον τιθέντες ἡμερωμένην.
Μολόντα δ' αὐτὸν κάρτα τιμαλφεῖ λεώς,
Δελφός τε χώρας τῆσδε πρυμνήτης ἄναξ.
Τέχνης δέ νιν Ζεὺς ἔνθεον κλίσας φρένα,
Ἵζει τέταρτον τόνδε μάντιν ἐν θρόνοις·
Διὸς προφήτης δ' ἐστὶ Λοξίας πατρός.
Τούτους ἐν ἀρχαῖς φροιμιάζομαι θεούς.
Παλλὰς προναίᾳ δ' ἐν λόγοις πρεσβεύεται.
Σέβω δὲ νύμφας, ἔνθα Κωρυκὶς πέτρα
Κοίλη, φίλορνις, δαιμόνων ἀναστροφή.
Βρόμιος δ' ἔχει τὸν χῶρον, οὐδ' ἀμνημονῶ,
Ἐξ οὗτε Βάκχαις ἐστρατήγησεν θεὸς,
Λαγὼ δίκην Πενθεῖ καταῤῥάψας μόρον·

Πλείσ-

Πλείσυ τε πηγὰς, ἠ Ποσειδῶνος κράτος
Καλῦσα, ἠ τέλειον ὕψισον Δία.
Επείλα μάλις εἰς θρόνυς καθιζάνω·
Καὶ νῦν τυχεῖν με τῆσ πρὶν εἰσόδων, μακρῷ
Αρισα δοῖεν, κ' εἰ παρ' Ελλήνων τινὲς,
Ιτων πάλῳ λαχόλες, ὡς νομίζε).
Μαλδόμαι γὰ, ὡς ἂν ἡγῆται θεός.
Η δεινὰ λέξαι, δεινὰ δ' ὀφθαλμοῖς δραχεῖν,
Πάλιν μ' ἔπεμψεν ἐκ δόμων τῆσ Λοξίυ,
Ως μήτε ζωκεῖν, μήτε μ' ἀκλαίνειν βάσιν·
Τρέχω δὲ χερσὶν, ὑ ποδωκίᾳ ζκελῶν·
Δείσασα γὰ γραῦς, ὑδὲν, ἀνλίπαις μὲν ὖν,
Εγὼ μὲν ἕρπω πρὸς πολυσεφῆ μυχόν.
Ορῶ δ' ἐπ' ὀμφαλῷ μὲν ἄνδρα θεομυσῆ
Εδραν ἔχονλα, πεσσρόπαιον, αἵμαλι
Σταζονλα χεῖρας, ἠ νεοσαδὲς ξίφος
Εχονλ', ἐλαίας θ' ὑψιγώνιον κλάδον,
Λήνῳ μεγίσῳ ζωφρόνως ἐσεμμένον,
Αργῆλι μαλλῷ. τῆδε γὰ τρανῶς ἐρῶ.
Πρόσθεν δὲ τἀνδρὸς τῦδε θαυμασὸς λόχος
Εὕδει γυναιχῶν ἐν θρόνοισιν ἥμενος·
Οὔτοι γυναῖκας, ἀλλὰ Γοργόνας λέγω.
Ουδ' αὖτε Γοργείοισιν εἰκάσω τύποις·
Εἶδόν ποτ' ἤδη Φινέως γεγραμμένας
Δεῖπνον φερούσας· ἄπλεροι γεμὴν ἰδεῖν
Αὗται, μέλαιναι δ' ἐς τὸ πᾶν βδελύκλροποι·
Ρέγκυσι δ' ὐ πλασοῖσι φυσιάμασιν·
Εκ δ' ὀμμάτων λείβυσι δυσφιλῆ βίαν·
Καὶ κόσμος ὕτε πρὸς θεῶν ἀγάλμαλα
Φέρειν δίκαιος, ὕτ' ἐς ἀνθρώπων στέγας.
Τὸ φῦλον ὐκ ὄπωπα τῆσδ' ὁμιλίας·

Οὐ

Οὐ δή τις αἶα τῦτ' ἐπέχει) γῆρος
Τρέφυσ' ἀνατεὶ, μὴ μιαίνειν πόνων.
Ταὐτοῦθεν ἤδη τῶνδε διαπότης δόμων
Αὐτῷ μελέᾳ Λοξίᾳ μεγαθυνεῖ.
Ἱερόμαντις δ' ἐστὶ κ) τερασκόπος,
Καὶ τοῖσιν ἄλλοις δώμασιν καθάρσιος.

ΑΠ. Οὗτοι πεφόβωσ' διὰ τέλους δέ (οι φύλαξ
Ἐγγὺς παρεστὼς, κ) πρόσω δ' ἀποστατῶν,
Ἐχθροῖσι τοῖς (οῖς ὑ γῆρσομαι πέπων.
Καὶ νῦν ἀλύσας τάσδε τὰς μάργυς ὁρᾷς
Ὕπνῳ. πεσοῦσαν δ' αἰ καλάπλυσοι κόραι,
Γραῖαι, παλαιαὶ παῖδες, αἷς ὑ μίγνυ)
Θεῶν τις, ὐδ' ἄνθρωπος, ὐδὲ θὴρ πόλε·
Κακῶν δ' ἕκαλι κἀγῶντ'. ἐπεὶ κακὸν
Σκότον νέμον), τάρταρόν θ' ὑπὸ χθονὸς,
Μισήματ' ἀνδρῶν κ) θεῶν ὀλυμπίων.
Ὅμως δὲ φεῦγε, μηδὲ μαλθακὸς γῆρᾳ.
Ἑλῶσι γὼ (ε κ) δι' ἠπείρυ μακρᾶς
Βεβῶτ' ἀνατεὶ τὴν πλανοσιβῆ χθόνα,
Ὑπέρ τε πόντον, κ) περιῤῥύτας πόλεις.
Καὶ μὴ πρόκαμνε τόνδε βυκολύμφυος
Πόνον· μολὼν δὲ Παλλάδος ποτὶ πτόλιν,
Ἵζυ παλαιὸν ἄγκαθεν λαβὼν βρέτας,
Κἀκεῖ δικασὰς τῶνδε κ) θελκτηρίυς
Μύθυς ἔχοντες, μηχανὰς ἁρήσομθ,
Ὡς' ἐς τὸ πᾶν (ε τῶνδ' ἀπαλλάξαι πόνων.
Καὶ γὼ κλανεῖν σ' ἔπεισα μηρῶν δέμας.

ΟΡ. Ἄναξ Ἀπολλον, οἶδα μὲν τὸ μὴ 'δικεῖν·
Ἐπεὶ δ' ἐπίσα, κ) τὸ μὴ 'μελεῖν μάθε.
Σθένος δὲ ποιεῖν εὖ φερέγγυον τὸ σόν.

ΑΠ. Μέμνησο, μὴ φόβος σὲ νικάτω φρένας.

Σὺ δ', αὐτάδελφον αἷμα καὶ κοινὸν σαλπὸς,
Ερμῆ, φύλασσε· κάρτα δ' ὢν ἐπώνυμος,
Πομπαῖος ἴωθι, τόνδε ποιμαίνων ἐμὸν
Ικέτην. σέβει τοι Ζεὺς τόδ' ἐκ νόμων σέβας,
Ορμώμενον βροτοῖσιν ἀπόμπῳ τύχῃ.
ΚΛ. Εὖδοιτ' ἄν, ὠὴ, καὶ καθεύδουσῶν τί δεῖ;
ΕΙ. Ἐγὼ δ' ὑφ' ὑμᾶς ὧδ' ἀπηλίμασμένη
Αλλοισιν ἐν νεκροῖσιν, ὡς μὲν ἔκλαγον,
Ονειδος ἐν φθίτοῖσιν οὐκ ἐκλείπετε),
Αἰσχρῶς δ' ἀλῶμαι· πρυτένπω δ' ὑμῖν ὅτι
Εχω μεγίστην αἰτίαν κείνων ὕπο.
Παθοῦσα δ' ὕτω δεινὰ πρὸς τῆς φιλτάτης,
Οὐδεὶς ὑπέρ μου δαιμόνων μηνιτῆ),
Καλασφαγείσης πρὸς χερῶν μητροκτόνων.
Ορα δὲ πληγὰς τάσδε καρδίας σέθεν.
" Εὖδουσα γὰρ φρὴν ὄμμασιν λαμπρύνετε).
" Εν ἡμέρᾳ δὲ μοῖρ' ἀπρόσκοπος βροτῶν.
Η πολλὰ μὲν δὴ τῆς ἐμῆς ἐλείξατε,
Χοάς τ' ἀοίνους, νηφάλια μειλίγματα,
Καὶ νυκτίσεμνα δεῖπν' ἐπ' ἐσχάρᾳ πυρὸς
Εθυον ὥραν ὑδένος κοινὴν θεῶν.
Καὶ πάντα ταῦτα λαξ ὀρῶ ποδὸς πάτῳ.
Ο δ' ἐξαλύξας οἴχετ') νεβρῦ δίκην,
Καὶ ταῦτα κύφως ἐκ μέσων ἀρκυσμάτων
Ωρυσεν, ὑμῖν ἐγκαλιλλώψας μέγα.
Ακούσαθ' ὡς ἔλεξα τῆς ἐμῆς πέρι
Ψυχῆς, φρονησατ', ὦ καλὰ χθονὸς θεαί.
Οναρ γὰρ ὑμᾶς νῦν Κλυταιμήστρα καλῶ.
(ΧΟ. Μυσμός.)
ΚΛ. Μύζοιτ' ἄν, ἀνὴρ δ' οἴχετ') φάγων πρόσω.
Φίλοις γὰρ εἶσιν ἐν ἐμοῖς πεποίκλοις.

(ΧΟ.

(XO. Μυσμός.)

ΚΛ. Αγαν ὑπνώσεις, κ' ὗ καλοικίζεις πάθος·
Φωτὸς δ' Ορέστης τῆσδε μητρὸς οἴχεται.

(XO. Ωσμός.)

ΚΛ. Ωζεις, ὑπνώσεις, ὐκ ἀνασήσῃ τάχος;
Τί (οι πέπρακ') πρᾶγμα πλὴν τἄχειν κακά;

(XO. Ωσμός.)

ΚΛ. Υπνος πόνος τε κύριοι ξυνωμόται
Δεινῆς δρακαίνης ἐξεκήραναν μῶρος.

(XO. Μυσμὸς διπλοῦς, ὀξύς.)

Λάβε, λάβε, λάβε, λάβε, φράζου.

ΚΛ. Οναρ διώκεις θῆρα, κλαγγαίνεις δ' ἄπερ
Κύων μερίμναν ὕποτ' ἐκλιπὼν πόνου.
Τί δρᾷς; ἀνίσω, μή (ε νικάτω πόνος,
Μηδ' ἀγνοήσῃς πῆμα μαλθαχθεὶσ' ὕπνῳ.
Αλγησον ἥπαρ ἐνδίκοις ὀνείδεσι.
Τοῖς (ώφροσιν γὰ ἀντίκεντρα γίνε).
Οὐδ' αἱμαληρὸν πνεῦμ' ἐπυρίσασα τῷ
Ατμῷ καλιχναίνουσα νηδύος πυρί.
Επου, μάραινε δλτέροις διώσμασιν.

XO. Εγειρ' ἔγειρε κὰ σὺ τήνδ', ἐγὼ δέ (ε.
Εὕδεις; ἀνίσω, κἀπολακλίσασ' ὕπνον,
Ιδώμεθ' εἴτι τῦδε φροιμίου ματᾷ.

Αντιστροφικα. Στροφὴ ά.

Ιὺ, ἰὺ, πόπαξ. ἐπάθομεν, φίλαι·
Η πολλὰ δὴ παθοῦσα κὰ μάτην ἐγώ.
Επάθομεν πάθος δυσαχθὲς, ὦ πόποι,
Αφερτον κακόν.
Εξ ἀρκύων πέπλωκεν, οἴχε) δ' ἃ θήρ.
Υπνῳ κραληθεὶσ' ἄγραν ὤλεσα.

Αντι-

Ἀντιστροφὴ ἀ.

Ἰὼ, πᾶϳ Διὸς, ἐπίκλοπος τέλη.
Νέος δὲ γραῖας δαίμονας καθιππάσω,
Τὸν ἱκέταν σέβων ἄθεον ἄνδρα κ᾽
Τοκεῦσι πικρὸν,
Τὸν μητραλοίαν δ᾽ ἐξέκλεψας ὢν θεός.
Τί τῶνδ᾽ ἐρεῖ τις δικαίως ἔχειν;

Στροφὴ β᾽.

Ἐμοὶ δ᾽ ὄνειδος ἐξ ὀνειράτων μολὸν,
Ἐτυψεν δίκαν διφρηλάτᾳ
Μεσολαβεῖ κέντρῳ·
Ὑπὸ φρένας, ὑπὸ λοβὸν
Πάρεσιν μαστίκορος,
Δαΐᾳ δαμίᾳ.
Βαρὺ τὸ περίβαρυ κρύος ἔχειν.

Ἀντιστροφὴ β᾽.

Τοιαῦτα δρῶσιν οἱ νεώτεροι θεοὶ
Κρατοῦντες τὸ πᾶν δίκας πλέον,
Φονολειβῆ θρόνον
Περὶ πόδα, περὶ κάρα
Πάρεσι γᾶς ὀμφαλὸν
Προσδρακεῖν αἱμάτων
Βλοσυρὸν ἀμβρύμνιον ἄγος ἔχειν.

Στροφὴ γ᾽.

Ἐφεσίῳ δὲ, μάντι, σῷ μιάσματι
Μυχὸν ἔχρανάς τ᾽ αὐ-
τόστυλος, αὐτόκλητος,
Παρανόμων θεῶν βρέτεα μὲν τίων,
Παλαμναῖς δὲ μοίρας φθίσας.

Ἀντιστροφὴ γ᾽.

Καὶμί τε λυπρὸς, κ᾽ τὸν οὐκ ἐκλύσει),

Ὑπὸ

Τπό τι γᾶν φάγων,
Οὔ ποτ' ἐλθεῖν.
Πολιτόπαγος δ' ὢν, ἕτερον ἐν κάρᾳ
Μιάσορ' ἐκείνῳ πάσοι).

Ιαμβοι.

ΑΠ. Ἔξω, κελεύω, τῶνδε δωμάτων τάχος
Χωρεῖτ', ἀπαλλάσσεσθε μαντικῶν μυχῶν·
Μὴ κἀμὲ λαβοῦσα σῆνδε ἀργηστὴν ὄφιν,
Χρυσηλάτῳ θώμιγγος ἐξορμώμενον,
Ἀτῆς ὑπ' ἄλγους μέλαν' ἀπ' ἀνθρώπων ἀφρὸν,
Ἐμοῦσα θρόμβους ὡς ἀφείκυσας φόνου.
Οὗτοι δόμοισι τοῖσδε χρίμπτεσθαι πρέπει·
Ἀλλ' ὦ καρανηπῆρες ὀφθαλμώρυχοι
